Ext Erl 3148. 4°

Joseph Flavius I

# DIEM NATALEM

AUGUSTISSIMI ET POTENTISSIMI

IMPERATORIS AC REGIS

# GUILELMI II

AB

# ACADEMIA MARBURGENSI

DIE XXVII M. IANUARII ANNI MDCCCLXXXIX

ORATIONE IN EXEDRA PRISTINI HIPPODROMI HABENDA

**CELEBRANDUM**

INDICIT

THEODORUS BIRT

PHIL. DR. PHILOLOGIAE ET ELOQUENTIAE P. P. O.
SEMINARII PHILOLOGI DIRECTOR.

Inest Iosephi epitomae adhuc ineditae pars secunda a BENEDICTO NIESE
historiae antiquae et philologiae P. P. O. prolata.

MARPURGI.
TYPIS ACADEMICIS ROBERTI FRIEDRICH.

AD BIBL. UNIV. MONAC.

Universitäts Bibliothek München

# Praefatio.

Quod proximo anno in luctu publico duobus imperatoribus mortuis intermittendum erat pergimus nunc faustis novi imperatoris auspiciis Iosephi antiquitatum Iudaicarum epitomam edere, sicut antea codice Busbekiano maxime usi addito tamen Hennebergensi, quem etiam nunc nobis praebuit benigna indulgentia Schmiederi gymnasiarchi Schleusingensis.

Iam vero quod in praefatione prioris huius epitomae partis me desiderare dixi, ut praeter Busbekianum codicem duorum antiquissimorum Vaticani 984 et Parisini 1601 paullo amplior notitia nobis eueniret, id nunc trium virorum beneficio factum est, Augusti Mau Adolfi Harnack et Mac-Gifferti Americani, quorum ille Vaticanam, hi Parisinam epitomam mea causa accuratius inspexerunt et quaedam contulerunt. et Vaticanum codicem in maiore Iosephi editione vol. I p. XXI satis descripsisse videor. de Parisino autem 1601 nunc ea proferantur, quae Harnackius nuntiavit. est igitur codex membranaceus foliorum 150, in quibus insunt Iosephi antiquitatum Iudaicarum libri I—X breviati. nitide scriptus est; paginae uicenorum senorum sunt uersuum; in margine notulae adiectae sunt partim minio exaratae; scriptus est anno post mundum creatum 6831 (h. e. post Christum natum 1323). Iosepho subiuncta sunt folia duo, in quibus Procopii et Agathiae particulae insunt. ante Iosephum inserta sunt folia duo, in quibus titulus et signa aliaque inscripta sunt, inter quae memorabile hoc est: *ἡ βίβλος αὔτη ἄλδου ἐστὶν ῥωμαίον.* eis, quae ex Vaticano et Parisino viri illi excerpserunt, demonstratur eos ex eodem archetypo olim derivatos esse, ex quo Busbekianus Laurentianus denique Hennebergensis profluxerunt. ab omnibus abest p. 5, 32 in computatione annorum, qui inter initium mundi et diluvium intercessisse dicuntur, numerus *ἑξακοσιοστόν*, quem antiquissimus epitomae testis Zonaras servavit, de quo dixi in praefatione Iosephi maioris vol. I p. XXXV. maxime vero similes sunt Vaticanus et Parisinus, quibus adiungitur saepe Hennebergensis; primum enim non raro ordinem verborum paullo alium exhibent, ac Busbekianus et Laurentianus; ueluti p. 1, 19 *τοῦ λόγου τοῦδε* dant, non *τοῦδε τοῦ λόγου* Laurentiani, et p. 13, 26 *τῷ πατρὶ προσέφερε* non *προσέφερε τῷ πατρί* Busbeckiani. denique multae corruptelae sunt communes inter Vaticanum Parisinum et Hennebergensem, quod uno maxime loco demonstrari potest. nam p. 6, 22 *ἑκαταῖος* Laur., *ἐκταῖος* Paris. Vat.

Henn., tum ἔφ$^{ο}$ Laur. abbreviatum ex ἔφορος, ἔφ$^{ος}$ Vat. ἔφος Paris., deinde νικ$^{—ό}$ Laur., quod νικόλαος legendum est, unde νίκον in Vat. Par. νίκων in Henn. factum est. ergo apparet in archetypo haec nomina ita fuisse abbreviata, ut sunt in Laurentiano.

Vaticanus igitur Parisinus et Hennebergensis a Busbekiano et Laurentiano discedunt. et auctoritas quidem Busbekiani paullo maior esse uidetur, quam ceterorum, ita tamen ut non pauca eius vitia ex illis emendari possint, id quod etiam in foliis a me anno 1887 editis accidit. quae nunc corrigenda sunt adiunctis erroribus eis, qui vel in excutiendis codicibus vel in exigendis typothetarum plagulis a me commissi sunt:

p. 2, 15 cum Hennebergensi ἀκριβοῦς scribendum est, ἀκριβῶς Par., ἀκριβῶν ultimis litteris compendio scriptis Laur.

p. 4, 31 πονοῦσι δὲ — 32 ἀξιώσειν omittunt Par. Vatic. Henn., recte sine dubio; nam a Laurentiano quoque, ex quo haec expressa sunt, ea abesse puto.

p. 5, 36 βουλόμενος — 37 ἔκβασιν om. Paris. Vatic. Henn., de quo idem statuendum esse videtur.

p. 7, 19 Ῥιφαθαίους auctore Parisino scribendum est, non Ῥιφθαίους ex Henn.

p. 8, 16 Παλαιστίνην lege.

p. 9, 18 βίβλους repone pro vitioso βιβλίους.

p. 10, 10 post παρεκάλει in Parisino additur recte: τοὺς δὲ δοθέντας αἰχμαλώτους παρ' αὐτοῦ παρεκάλει, quae unius versus spatium expiere testatur Mac Giffert.

p. 10, 20 Ἰσμάηλος repone.

p. 12, 5 post γυναῖκα meo errore excidit: τὸ πρᾶγμα.

Denique his locis reponenda sunt haec: p. 28, 39 not. εἰς Busb.; p. 29, 9 τῇ τρίτῃ; p. 29, 17 ὑπαγορεύει; p. 29, 26 ἕκτος; p. 29, 30 βλέποντος; p. 31, 25 φυλάρχους; p. 32, 28 ἥμισυ; p. 39, 16 post γεγονέναι distingue; p. 40, 12 post Μαδιανίτας tolle comma; p. 41, 10 reponendum ὅσα; p. 42, 3 προέχων; p. 43, 36 τῷ θεῷ; p. 44, 32 τὴν χώραν; p. 44, 34 ὑπὲρ κεφαλῆς; p. 46, 20 κοινωνίας; p. 46, 5 not. συγκατανεύουσαν; p. 47, 2 ἀποτιννύτω; p. 49, 16 ante νουμηνίᾳ distinguendum est.

Et haec quidem hactenus; sequitur epitomae pars altera paullo maior quam quae ante biennium edita est. proximo anno speramus fore, ut librum sextum septimum octavum nonum decimum proferri liceat.

Datum Marburgi a. d. VI idus Ianuarias 1889.

---



Zonaras I p. 57 Bonn.

πάλιν οὖν φθειρῶν τοῖς Αἰγυπτίοις ἐξήνθησεν ἄπειρον πλῆθος τῶν ἔνδον ἀναδιδόμενον, 300
μήτε λουτροῖς μήτε φαρμάκοις θεραπευόμενον. δείσας οὖν τὸν ὄλεθρον Φαραώθης τοῖς 301 302
μὲν Ἑβραίοις ἐδίδου τὴν ἔφοδον, καὶ πρὸς τοῦτο τοῦ πάθους λωφήσαντος τέκνα καὶ γυναῖκας
ὅμηρα τῆς ὑποστροφῆς κατεῖχε. προσεξαγριαίνει δὴ τὸν θεὸν καὶ θηρίων παντοίων καὶ 303
πολυτρόπων, ὧν εἰς ὄψιν οὐδεὶς ἀπηντήκει πρότερον, τὴν χώραν αὐτῶν ἐγέμισε. τοῦ δὲ 304
Φαραώθου τὰς μὲν γυναῖκας συναπαίρειν τοῖς ἀνδράσι συγχωροῦντος καταλείπεσθαι δὲ
τοὺς παῖδας, δεινῶς αὐτοῖς τὰ σώματα ἐξήλκωτο καὶ τὸ πολὺ τῶν Αἰγυπτίων οὕτως ἀπώλ-
λυτο. μηδ' ὑπὸ ταύτης δὲ τῆς πληγῆς σωφρονιζομένου τοῦ βασιλέως χάλαζα μὴ πρότερον 305
τοῦ κατ' Αἴγυπτον ἀέρος τοῦτο πεπονθότος μείζων τοῖς παρὰ τὰ βόρεια καὶ τὴν ἄρκτον
νεμομένοις, ἀέρος ἀκμάζοντος κατενεχθεῖσα τοὺς καρποὺς αὐτῶν κατέκλασεν. ἔπειτα φῦλον 306
ἀκρίδων νέμεται τὰ κατάλοιπα· Φαραώθης δὲ κελεύει τὸν Μωϋσῆν μετὰ γυναικῶν καὶ 307
παίδων τὸν λαὸν ἀπάγειν, τὴν δὲ λείαν αὐτοῖς καταλιπεῖν. τοῦ δὲ μὴ δίκαιον 308
εἶναι φήσαντος, δεῖν γὰρ αὐτοὺς τῷ θεῷ τὰς θυσίας ἐκ τῆς λείας προσενεγκεῖν, καὶ τρι-
βομένου διὰ ταύτην τὴν αἰτίαν τοῦ χρόνου σκότος βαθὺ περιχεῖται τοῖς Αἰγυπτίοις,
ὑφ' οὗ τάς τε ὄψεις ἀποκλειομένοις ὑπὸ παχύτητός τε τὰς ἀναπνοὰς ἐμφραττο-
μένοις οἰκτρῶς ἀποθνήσκειν συνέβαινε. μετὰ δὲ τρεῖς ἡμέρας καὶ νύκτας ἴσας τούτου 309
διασκεδασθέντος „ἄχρι πότε, φησὶν ὁ Μωϋσῆς τῷ βασιλεῖ, ἀπειθεῖς τῇ τοῦ θεοῦ γνώμῃ“;
ὁ δὲ ἠπείλησεν αὐτοῦ τὴν κεφαλὴν ἀποτεμεῖν, εἰ πάλιν περὶ τούτου αὐτῷ προσέλθοι. 310
Μωϋσῆς δὲ οὐκέτι προσελθεῖν ἔφησεν, αὐτοὺς δὲ ἐκείνους παρακαλέσειν τοὺς Ἑβραίους
ἀπελθεῖν. ὁ δὲ θεὸς ἐκέλευσεν αὐτῷ παραγγεῖλαι τῷ λαῷ θυσίαν ἑτοίμην ἔχειν παρασκευ- 311
ασαμένους τῇ τρισκαιδεκάτῃ τοῦ κατὰ Μακεδόνας Ξανθικοῦ μηνὸς εἰς τὴν τεσσαρεσκαι-
δεκάτην, ὃς παρὰ μὲν Ἑβραίοις Νισὰν παρ' Αἰγυπτίοις δὲ Φαρμουθὶ καλεῖται, ἀπάγειν
τε αὐτοὺς πάντα ἐπικομιζομένους. καὶ ὁ μὲν ἑτοίμους τοὺς Ἑβραίους πρὸς τὴν ἔξοδον 312
διατάξας εἰς φατρίας ἐν ταὐτῷ συνεῖχεν, ἐνστάσης δὲ τῆς τεσσαρεσκαιδεκάτης πάντες
ἔθυον καὶ τῷ αἵματι τὰς οἰκίας ἥγνιζον ὑσώπου κόμας ἀναλαβόντες, καὶ δειπνήσαντες τὰ
λοιπὰ τῶν κρεῶν ἔκαυσαν ὡς ἐξελευσόμενοι. ὅθεν νῦν οὕτως θύομεν τὴν ἑορτὴν πάσχα 313
καλοῦντες, σημαίνει δὲ ὑπερβασίαν, διότι κατ' ἐκείνην τὴν ἡμέραν ὁ θεὸς αὐτοὺς ὑπερβὰς
Αἰγυπτίοις ἐναπέσκηψε τὴν νόσον. ἡ γὰρ φθορὰ τῶν πρωτοτόκων αὐτοῖς κατ' ἐκείνην
ἔπεισι τὴν νύκτα, ὡς συνελθόντας τῷ Φαραώθῃ συμβουλεύειν ἀπολύειν τοὺς Ἑβραίους. ὁ 314
δὲ Μωϋσῆν ἀπιέναι προσέταξε, δώροις τε Ἑβραίους ἐτίμων.
Καὶ οἱ μὲν ἐξῄεσαν, τὴν δὲ πορείαν ἐποιοῦντο κατὰ Λητοῦς πόλιν ἔρημον οὖσαν 315
τότε· Βαβυλὼν γὰρ ὕστερον κτίζεται ἐκεῖ Καμβύσου καταστρεφομένου τὴν Αἴγυπτον.
συντόμως δὲ ἀπιόντες εἰς Βελσεφῶντα χωρίον παραγίνονται τριταῖοι τῆς Ἐρυθρᾶς θαλάσσης.
πεφυραμένοις δὲ ἀλεύροις καὶ πεπηγόσι μόνον ὑπὸ βραχείας θέρμης τοῖς ἀπ' αὐτῶν ἄρτοις 316
διετρέφοντο, καὶ τούτοις ἐπὶ τριάκοντα ἡμέραις ἐχρήσαντο· πρὸς πλείονα γὰρ χρόνον οὐκ
ἐξήρκεσεν αὐτοῖς ὅσα ἐκ τῆς Αἰγύπτου ἐπεφέροντο. ὅθεν εἰς μνήμην τῆς τότε ἐνδείας 317
ἑορτὴν ἄγομεν ἐφ' ἡμέρας ὀκτὼ τῶν ἀζύμων λεγομένην. ἦν δὲ τὸ τῶν μετανισταμένων
πλῆθος τὸ στρατεύσιμον ἡλικίαν ἔχον μόνον μυριάδες. ἑξήκοντα ἐξῆλθε δὲ μηνὸς 318

3 ἄφοδον Iosephus — τοῦ πάθους om. Iosephus. — 10 ἀέρος] ἔαρος Iosephus. — 12 μὴ] οὐχὶ Iosephus. — 17 διασκεδασθέντες Busb. — 19 παρακαλέσει τοὺς Ἑβραίους Busb. τοὺς Ἑβραίους παρακαλέσει Henn.

Zonaras I p. 58 Bonn.

Ξανθικοῦ πέμπτῃ καὶ δεκάτῃ κατὰ σελήνην μετὰ ἔτη λ' καὶ υ' ἢ τὸν πρόγονον ἡμῶν
Ἄβραμον εἰς τὴν Χαναναίαν ἐλθεῖν, τῆς δὲ Ἰακώβου μεταναστάσεως εἰς τὴν Αἴγυπτον
319 διακοσίοις πρὸς τοῖς ιε' ἐνιαυτοῖς ὕστερον, Μωϋσῇ δὲ ἐγεγόνει ἔτος ὀγδοηκοστὸν ἤδη, ὁ
δὲ ἀδελφὸς αὐτοῦ Ἀαρὼν τρισὶ πλείοσιν. ἐπεκομίζοντο δὲ καὶ τὰ ὀστᾶ τοῦ Ἰωσήφ.
320 324 Αἰγύπτιοι δὲ μετενόουν, καὶ λαβόντες ὅπλα ἐδίωκον ὡς ἐπανάξοντες. καταλαβόντες δ' αὐ-
τοὺς συνελαύνουσιν εἰς ὀλίγον χωρίον ὑπὸ πολυχειρίας· ἑξακόσια γὰρ ἦσαν αὐτοῖς ἅρματα
326 σὺν ἱππεῦσι πεντακισμυρίοις καὶ ὁπλιτῶν μυριάδων εἴκοσι. Ἑβραῖοι δὲ μήτ' ὑπομένειν
διὰ τὴν ἔνδειαν τῶν ἐπιτηδείων δυνάμενοι μήτε φυγῆς εὐπορίαν ὁρῶντες ὅπλων τὲ σπανί-
327 ζοντες ἐν ἐλπίδι τοῦ ἀπολέσθαι καθιστήκεισαν. καὶ τὸν Μωϋσῆν τὴν σωτηρίαν αὐτοῖς
ἐπαγγελόμενον λίθοις βαλεῖν ὥρμησαν παραδιδόναι τὲ σφᾶς τοῖς Αἰγυπτίοις ἐγνώκεσαν,
328 πένθος τὲ ἦν γυναικῶν καὶ παίδων ὄρεσι καὶ θαλάσσαις περικεκλεισμένων καὶ πολεμίοις.
329 334 Μωϋσῆς δὲ διαλεχθεὶς τῷ πλήθει καίπερ πρὸς αὐτὸν ἀγριαίνοντι ἦγεν αὐτοὺς ἐπὶ θάλατταν
τῶν Αἰγυπτίων ὁρώντων· τῇ γὰρ διώξει τεταλαιπωρημένοι εἰς τὴν ὑστεραίαν τὴν μάχην
ὑπερβάλλονται. στὰς δὲ πρὸς τῷ αἰγιαλῷ καὶ καὶ τὴν βακτηρίαν λαβὼν τὸν θεὸν ἱκέτευε
338 καὶ βοηθὸν ἐκάλει, καὶ πολλὰ ἐπιθειάσας τύπτει τῇ βακτηρίᾳ τὴν θάλασσαν. ἡ δὲ ἀπὸ
τῆς πληγῆς ἀνεκόπη καὶ εἰς ἑαυτὴν ἀνεχώρησε καὶ γυμνὴν ἀφίησι τὴν γῆν Ἑβραίοις εἶναι
339 340 ὁδόν. Μωσῆς δὲ πρῶτος ἐνέβαινεν αὐτῇ καὶ τοὺς Ἑβραίους ἐκέλευεν ἕπεσθαι. τῶν δ'
ἱεμένων μετὰ σπουδῆς, μαίνεσθαι μὲν αὐτοὺς Αἰγύπτιοι τὸ πρῶτον ἐδόκουν, ἐπεὶ δ' ἑώρων
ἀβλαβεῖς ἐπὶ πολὺ προκεκοφότας, διώκειν ὡρμήκεσαν καὶ προτάξαντες τὴν ἵππον κατέ-
341 343 βαινον. Ἑβραῖοι δ' ἔφθασαν ἐπὶ τὴν ἀντιπέραν γῆν ἐκφυγόντες. ὡς οὖν ὁ τῶν Αἰγυπτίων
στρατὸς ἅπας ἐντὸς ἦν, ἐπιχεῖται πάλιν ἡ θάλασσα ῥοώδης ὑπὸ πνεύματος καιοῦσα
ὄμβροι τ' ἀπ' οὐρανοῦ καὶ βρονταὶ σκληραὶ σὺν ἀστραπαῖς καὶ κεραυνοὶ κατηνέχθησαν,
344 καὶ νὺξ ζοφώδης καὶ σκοτεινὴ κατέλαβεν αὐτούς. καὶ οἱ μὲν οὕτως ἀπώλοντο, ὡς μηδ'
345 ἄγγελον τῆς συμφορᾶς ὑποστρέψαι. οἱ δ' Ἑβραῖοι ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας αὐτῶν
καὶ τῇ τῶν ἀναγκαζόντων σφᾶς δουλεύειν διαφθορᾷ ἔχαιρον καὶ ἐν ὕμνοις ἦσαν καὶ παι-
διαῖς ὅλην τὴν νύκτα, καὶ Μωϋσῆς ᾠδὴν εἰς τὸν θεὸν ἐγκώμιόν τε καὶ τῆς εὐμενείας
347 εὐχαριστίαν περιέχουσαν ἐν ἑξαμέτρῳ τόνῳ συντίθησι. θαυμάσει δὲ μηδεὶς τοῦ λόγου
τὸ παράδοξον, εἰ ἀρχαίοις ἀνθρώποις καὶ πονηρίας ἀπείροις εὑρέθη σωτηρίας ὁδὸς καὶ
348 διὰ θαλάσσης εἴτε κατὰ θεοῦ βούλησιν εἴτε κατ' αὐτόματον, ὁπότε καὶ τοῖς περὶ τὸν
Ἀλέξανδρον τὸν Μακεδόνα χθὲς καὶ πρώην ὑπεχώρησε τὸ Παμφύλιον πέλαγος καὶ ὁδὸν
ἄλλην οὐκ ἔχουσι παρέσχε τὴν δι' αὐτοῦ, καταλῦσαι τὴν Περσῶν ἡγεμονίαν τοῦ θεοῦ
θελήσαντος, καὶ τοῦτο πάντες ὁμολογοῦσιν οἱ τὰς Ἀλεξάνδρου πράξεις συγγραψάμενοι.
349 τὰ δ' ὅπλα τῶν Αἰγυπτίων τοῖς Ἑβραίοις προσενεχθέντα ὑπὸ τοῦ ῥοῦ καὶ τῆς βίας τοῦ
πνεύματος ὁ Μωϋσῆς, εἰκάσας καὶ τοῦτο τῆς τοῦ θεοῦ προνοίας, συναγαγὼν καὶ τούτοις
σκεπάσας τὸν λαὸν ἦγεν ἐπὶ τὸ Σίναιον ὄρος θύσων ἐκεῖ τῷ θεῷ καὶ τὰ σῶστρα τῆς
πληθύος ἀποδώσων, καθὼς αὐτῷ καὶ προείρητο.

περιέχει ὁ λόγος ἔτη σκ'.

---

3 πρὸς] πρὸ Busb. — 15 ἀπὸ] ὑπὸ Iosephus.



Zonaras I p. 59 Bonn.

## Φλαυίου Ἰωσήπου ἀρχαιολογίας λόγος τρίτος.

Παραδόξως δὲ τοὺς Ἑβραίους σωθέντας ἐλύπει ἀγομένους ὑπὸ τὸ Σίναιον ἡ ἐρημία
τῆς χώρας καὶ τῶν τροφῶν ἡ σπάνις καὶ ἡ τοῦ ὕδατος ἔνδεια· ὃ γὰρ ἐπεφέροντο ὕδωρ 2
δεδαπάνητο ἤδη τὸ δ' εὑρισκόμενον πικρὸν ἀλλ' οὐ πότιμον ἦν. οὕτω δὲ ὁδεύοντες 3
ἀφικνοῦνται εἰς τόπον Μὰν αὐτὸν διὰ τὴν τοῦ ὕδατος κακίαν καλέσαντες· μὰν γὰρ ἡ
πικρία λέγεται. φρέαρ δὲ ἦν ἐκεῖ, οὗ τὸ ὕδωρ πικρὸν καὶ ἄποτον οὐκ ἀνθρώποις μόνον 4
ἀλλὰ καὶ τοῖς ὑποζυγίοις. Μωϋσῆς δὲ πάντων ἐπ' αὐτὸν συντρεχόντων καὶ ἀντι- 5 6
βολούντων, γυναίων μὲν ὑπὲρ νηπίων ἀνδρῶν δὲ ὑπὲρ ἐκείνων, ἱκέτευε τὸν θεὸν
μεταβαλεῖν τὸ ὕδωρ ἐκ τῆς παρούσης κακίας καὶ πότιμον αὐτοῖς παρασχεῖν. καὶ κατα- 7
νεύσαντος τοῦ θεοῦ λαβὼν ἀποτομάδος τὸ ἄκρον ἐν ποσὶν ἐρριμμένης διαιρεῖ μέσην
κατὰ τὸ μῆκος τὴν τομὴν ποιησάμενος, καὶ μεθεὶς εἰς τὸ φρέαρ ἔπειθε τοὺς Ἑβραίους
τὸν θεὸν ἐπήκοον τῆς εὐχῆς γεγονότα παρέξειν αὐτοῖς τὸ ὕδωρ οἷον ἐπιθυμοῦσιν,
ἐξαντλεῖν τε τὸ φρέαρ ἐκέλευε. καὶ οἱ μὲν ἐπόνουν, τὸ δ' ὑπὸ τῶν συνεχῶν πληγῶν γε- 8
γυμνασμένον καὶ κεκαθαρμένον ἤδη πότιμον ἦν. ἐκεῖθεν εἰς Ἦλιν ἀφικνοῦνται, ἐν ᾗ φοί- 9
νικες οὐ πλείους ἦσαν τῶν ο δυσαυξεῖς καὶ χαμαίζηλοι δι' ὕδατος ἀπορίαν καὶ πρὸς καρπὸν
ἀσθενεῖς ψαφαροῦ τοῦ χωρίου ὄντος· δώδεκα γὰρ οὐσῶν ἐκεῖσε πηγῶν οὐδὲν νοτερόν τι 10
καὶ πρὸς ἄρδευσιν χρήσιμον ἦν, ἀλλ' ἰκμάδες ἦσαν ὀλίγαι, καὶ διαμωμένοις τὴν ψάμμον
οὐδὲν ἀπήντα, κἄν τι δὲ στάζον ἔλαβον ἄχρηστον εὕρισκον ὑπὸ τοῦ θολερὸν εἶναι. εἶχον οὖν 11
ἐν αἰτίᾳ τὸν στρατηγόν, τριακοστὴν γὰρ ἐκείνην ὁδεύοντες ἡμέραν ἃ ἐπεφέροντο ἀνάλωσαν,
καὶ δυσέλπιδες ἦσαν ἀμνημονοῦντες τῶν ὑπηργμένων διὰ Μωσέως αὐτοῖς ἐκ θεοῦ, βάλλειν 12
τὲ αὐτὸν ὡρμήκεσαν. ὁ δὲ τῷ θεῷ θαρρῶν πάρεισιν εἰς μέσους, καὶ καταβοῶντας καὶ 13
τὰς χεῖρας ἐπὶ τοῖς λίθοις ἔχοντας ὁραθεὶς καταπαύειν ἤρξατο τῆς ὀργῆς καὶ διαλεχθεὶς
εἰς μετάνοιαν ὧν ἔμελλον δρᾶν ἔτρεψε. καὶ ἀναβὰς ἐπί τινα σκοπὴν ᾔτει τὸν θεὸν 22
πόρον τῷ λαῷ καὶ τῆς ἐνδείας ἀπαλλαγήν· ὁ δὲ θεὸς προνοήσειν τε ἐπαγγέλεται καὶ 23 25
μετ' ὀλίγον ὀρτύγων πλῆθος, τρέφει δὲ τοῦτο τὸ ὄρνεον ὡς οὐδὲν ὄρνεον ὁ Ἀράβιος
κόλπος, ἐφίπταται τὴν μεταξὺ θάλασσαν ἐπελθὸν καὶ ὑπὸ κόπου τὲ ἅμα τῆς πτήσεως καὶ
πρόσγειον μᾶλλον τῶν ἄλλων ὂν καταφέρεται εἰς τοὺς Ἑβραίους· οἱ δὲ συλλαμβάνοντες
τὴν ἔνδειαν ἰῶνται. καὶ δευτέραν δὲ τροφὴν καταπέμπει ὁ θεός. ἀνέχοντος τοῦ Μωϋσέος 26
τὰς χεῖρας ἐπὶ ταῖς εὐχαῖς δρόσος κατηνέχθη, καὶ περιπηγνυμένης ταῖς χερσὶ γεύεται καὶ
ἡσθεὶς ἀνεδίδασκε τὸν λαὸν ἐπὶ σωτηρίᾳ τῇ αὐτῶν καὶ διατροφῇ τὴν δρόσον ἀπ' οὐρανοῦ 27
καταφέρεσθαι. οἱ δὲ γευόμενοι ἥδοντο· μέλιτι γὰρ ἦν τὴν ἡδονὴν ἐμφερές, ὅμοιον δὲ τῇ τῶν 28
ἀρωμάτων βδέλλῃ, τὸ δὲ μέγεθος κοριάνδρου σπέρματι. παρήγγελτο δὲ ἐξ ἴσου πᾶσιν 29
ἀσσάρωνα, τοῦτο δ' ἐστὶ μέτρον, εἰς ἑκάστην ἡμέραν συλλέγειν, ἵνα μὴ τοῖς ἀδυνάτοις
ἄπορον ᾖ τὸ λαμβάνειν δι' ἀλκὴν τῶν δυνατωτέρων πλεονεκτούντων περὶ τὴν ἀναίρεσιν.
οἱ δὲ πλέον τοῦ τεταγμένου συνάγοντες τοῦ ὑπολειφθέντος εἰς τὴν ἐπιοῦσαν ἀπολαύειν οὐκ 30
εἶχον διεφθαρμένου ὑπό τε σκωλήκων καὶ πικρίας. ἔτι δὲ καὶ νῦν ὕεται πᾶς ὁ τόπος ἐκεῖνος. 31
καλοῦσι δὲ Ἑβραῖοι τὸ βρῶμα τοῦτο μάννα· τὸ γὰρ μὰν ἐπερώτησις κατὰ τὴν αὐτῶν 32
διάλεκτον, τί ἐστιν ἀνακρίνουσα. τῇ δὲ τροφῇ ταύτῃ μ' ἔτεσιν ἐχρήσαντο ἐφ' ὅσον ἦσαν ἐν
τῇ ἐρήμῳ. ὡς δ' ἐκεῖθεν εἰς Ῥαφιδὴν ἦσαν καὶ ἄνυδρον εὑρόντες τὴν γῆν, δι' ὀργῆς πάλιν 33

---

5 καλέσαντες] ὀνομάσαντες Iosephus. — 15 καὶ πρὸς καρπὸν ἀσθενεῖς om. Iosephus. — 18 ἄχριστον Busb. — 19 ἡμέραν] Henn., om. Busb.

Zonaras I p. 63 sq. Bonn.

ἄργυρόν τε καὶ χρυσὸν καὶ χαλκὸν ξύλα τὲ ἄσηπτα καὶ τρίχας αἰγείους καὶ δορὰς προβάτων
τὰς μὲν ὑακίνθῳ βεβαμμένας τὰς δὲ φοίνικι· αἱ δὲ πορφύρας ἄνθος, αἱ δὲ λευκὴν
103 παρεῖχον τὴν χρόαν· ἔριά τε καὶ λίνου βύσσον καὶ λίθους πολυτελεῖς θυμάτων τε πλήθη.
104 105 ἣ δ' οὐδὲν μεταφερομένου ναοῦ διέφερεν. ἀρχιτέκτονας δὲ τοῖς ἔργοις ἐφίστησι Βεσέηλον
μὲν Οὐρῆ παῖδα τῆς Ἰούδα φυλῆς, υἱὸν δὲ Μαρίαμμης τῆς ἀδελφῆς αὐτοῦ, καὶ
107 Ἐλίφαζον Ἰσαμάχου Δάνιδος φυλῆς. Μωυσῆς δὲ περὶ τῶν μέτρων καὶ τοῦ μεγέθους ὅσα
τὲ δεῖ σκεύη χωρεῖν αὐτὴν ἀνεδίδασκε πρὸς τὰς θυσίας ὑπηρετήσοντα. ἐφιλοτιμοῦντο δὲ
108 γυναῖκες περὶ στολὰς ἱερατικὰς καὶ τὰ ἄλλα ὅσων ἔχρηζε τὸ ἔργον. προειπὼν δὲ ἑορτὴν
Μωϋσῆς καὶ θυσίας ἵστα τὴν σκηνήν, τὸ μὲν εὖρος πεντήκοντα πηχῶν ἑκατὸν δὲ τὸ μῆκος
109 114 αἴθριον διαμετρησάμενος. τέσσαρας δὲ τοῦτο εἶχε πλευράς, οὗ ἐντὸς περιραντήριον ἦν
χάλκεον, ἐξ οὗ τοῖς ἱερεῦσι τὰς χεῖρας ἀποπλύνειν καὶ τῶν ποδῶν καταχεῖν παρῆν. καὶ ὁ
μὲν τοῦ αἰθρίου περίβολος τοιοῦτος, ὃν σινδὼν διόλου ἐπῄει περιφράττουσα ἅπαν ἐν
115 κύκλῳ χωρίον. τὴν δὲ σκηνὴν ἵστησιν αὐτοῦ κατὰ μέσον τετραμμένην πρὸς ἀνατολάς.
καὶ τὸ μὲν μῆκος αὐτῆς ἐπὶ πήχεις ἐγήγερται τριάκοντα, τὸ δὲ εὖρος ἐπὶ δέκα διειστήκει,
καὶ ὁ μὲν ἕτερος τῶν τοίχων νότιος ἦν, ὁ δ' ἄλλος κατὰ βορέαν ἐτέτραπτο, κατόπιν δ'
116 αὐτῆς ἡ δύσις κατελείπετο. ἀνίστασθαι δ' αὐτὴν ἐχρῆν ὁπόσον προβαίνει τὸ εὖρος.
122 ἐντὸς δὲ τὸ μῆκος αὐτῆς εἰς τρία διῄρητο κατὰ δέκα πήχεας. ὧν τὸ μὲν ἐνδοτέρωθεν ἄδυτον
123 ἦν καὶ ὡς οὐρανὸς ἀνεῖτο τῷ θεῷ καὶ τοῖς ἱερεῦσιν ὂν ἄβατον, οἱ δ' εἴκοσι πήχεες, ὥσπερ
125 γῆ καὶ θάλασσα βάσιμος ἀνθρώποις, οὕτως τοῖς ἱερεῦσι μόνοις ἐπετέτραπτο. καὶ ὁ μὲν
126 ναὸς ἅγιον ἐκαλεῖτο, τὸ δὲ ἄβατον τοῦ ἁγίου τὸ ἅγιον. ὡραῖον δὲ τὸ φάρσος, ὃ
κατεπετάννυτο τῆς σκηνῆς ἄνθεσι παντοίοις διαπεποικιλμένον τοῖς τε ἄλλοις ἅπασι ἐνυ-
134 φασμένον, ὅσα κόσμον οἴσειν ἔμελλον, πλὴν ζώων μορφῆς. γίνεται δὲ κιβωτὸς τῷ θεῷ
135 ἐκ ξύλων ἰσχυρῶν καὶ ἀσήπτων. ἡ δὲ ἱερωνυμία καλεῖται κατὰ τὴν ἡμετέραν γλῶτταν, ἧ μῆκος
μὲν ἦν πέντε σπιθαμῶν, τὸ δ' εὖρος καὶ βάθος τριῶν σπιθαμῶν εἰς ἑκάτερον· χρυσῷ δὲ
136 τά τε ἐντὸς καὶ τὰ ἐκτὸς περιελήλατο, ὡς ἀποκεκρύφθαι τὴν ξύλωσιν, καθ' ἕτερον δὲ
τοῖχον αὐτῆς τῶν ἐπιμηκεστέρων κρίκοι προήεσαν χρύσεοι δύο καὶ δι' αὐτῶν σκυταλίδες
ἐπίχρυσοι καθ' ἑκάτερον τοῖχον, ὡς ἂν ὑπ' αὐτῶν ἄγοιτο ὑπὸ τῶν ἱερέων φερομένη·
137 οὐ γὰρ ἐπὶ ζεύγους ἐκομίζετο. τῷ δ' ἐπιθέματι αὐτῆς ἦσαν πρόστυποι δύο, Χερουβὶμ
μὲν αὐτοὺς Ἑβραῖοι καλοῦσι, ζῶα δ' ἐστὶ πετεινὰ μορφὴν οὐδενὶ τῶν ὑπ' ἀνθρώπων
ἑωραμένων παραπλήσια, Μωυσῆς δὲ φησὶ τῷ θρόνῳ τοῦ θεοῦ προστυπεῖς ἑωρακέναι.
138 ταύτῃ τὰς δύο πλάκας, ἐν αἷς τοὺς δέκα λόγους συγγεγράφθαι συμβέβηκεν ἀνὰ πέντε μὲν
εἰς ἑκατέραν ἀνὰ δύο δὲ ἥμισυ κατὰ μέτωπα, ἐγκατέθετο, καὶ ταύτην ἐν τῷ ἀδύτῳ κατα-
139 τίθησιν. ἐν δὲ τῷ ναῷ τράπεζαν ἱδρύεται τὸ μῆκος μὲν δύο πηχῶν, τὸ δὲ πλάτος ἑνὸς
142 καὶ σπιθαμῶν τριῶν τὸ ὕψος. ἐπὶ ταύτης, ἐτίθετο γὰρ ἐν τῷ ναῷ τετραμμένη πρὸς
ἄρκτον, διετίθεσαν ἄρτους δώδεκα ἀζύμους κατὰ ἓξ ἐπαλλήλους κειμένους καθαροῦ πάνυ
143 ἀλεύρου ἐκ δύο ἀσσάρων, ὃ μέτρον Ἑβραίοις ἑπτὰ κοτύλας Ἀττικὰς ἔχον. ὑπὲρ δὲ τῶν ἄρτων
ἐτίθεντο φιάλαι δύο χρύσεαι λιβάνου πλήρεις, μετὰ δὲ ἡμέρας ἑπτὰ πάλιν ἄλλοι ἐκομί-

2 ἰακίνθῳ Busb. — 10 εἶχε τοῦτο Henn. — 11 κατασχεῖν m. 1 Busb. — 14 ἐγήγερτο Iosephus. — 16 προβαίνοι Ioseph. — 19 καὶ ὁ — 20 ἁγίου τὸ ἅγιον om. Henn. — 23 ἡ om. Busb. — ἱερωνυμία] Busb. ἑρονυμία Henn. ἐρὼν μὲν Iosephus. — 24 πιθαμῶν bis Busb. et fortasse Henn. man. 1. — 26 προήεσαν] προσῆσαν Iosephus. — 31 συμβεβήκει Iosephus.



Zonaras I p. 64 Bonn.

ζοντο ἄρτοι ἐν τῷ σαββάτῳ· τὴν γὰρ ἑβδόμην ἡμέραν σάββατα καλοῦμεν. κατὰ πρόσωπον 144
δὲ τῆς τραπέζης τῷ πρὸς μεσημβρίαν τετραμμένῳ τοίχῳ πλησίον ἵσταται λυχνία ἐκ χρυσοῦ
κεχωνευμένη διάκενος σταθμὸν ἔχουσα μνᾶς ἑκατόν· Ἑβραῖοι μὲν καλοῦσι κίγχαρες, καθ'
Ἑλλάδα δὲ γλῶσσαν καλεῖται τάλαντα. μεταξὺ δὲ αὐτῆς καὶ τῆς τραπέζης ἔνδον θυμία- 147
τήριον ξύλινον, στερεὰ δὲ περιελήλατο αὐτῷ λεπίς, ἐπῆν τε καὶ ἐσχάρα χρυσέα ὑπερανε- 148
στῶσα. ἵδρυται δὲ καὶ πρὸ τῆς σκηνῆς βωμὸς χάλκεος ὑπόξυλος καὶ αὐτὸς ἑκάστην 149
πλευρὰν πέντε πήχεσιν ἐκμεμετρημένος, χαλκείαις λεπίσιν ἐξησκημένος, δικτύῳ τὴν ἐσχάραν
ἐμφερής. ἄντικρυς δ' ἐτίθεντο τοῦ βωμοῦ οἰνοχόαι καὶ φιάλαι σὺν θυΐσκοις καὶ κρατῆρσιν. 150
ὅσα τὲ ἄλλα σκεύη πρὸς τὰς ἱερουργίας πεποίητο χρύσεα πάντα ὑπῆρχε. γίνονται δὲ καὶ τοῖς 151
ἱερεῦσι στολαί, ἃς χαναναίας καλοῦσι, καὶ δὴ καὶ τῷ ἀρχιερεῖ, ὃν ἀναραβάχην προσαγο-
ρεύουσι, σημαίνει δὲ ἀρχιερέα, στολὴ ποδήρης χιτὼν ἐξ ὑακίνθου, μερὶν καλεῖται 153 159
ἑβραϊστί. κατὰ πέζαν δ' αὐτῷ προσερραμμένοι θύσανοι ἀπήρτηνται ῥοιῶν τρόπον καὶ 160
κώδωνες χρύσεοι, ὥστε μέσον ἀπολαμβάνεσθαι δυοῖν τὲ κωδώνοιν ῥοΐσκον, καὶ ῥοῶν
κωδώνιον. ἐπὶ δὲ τούτου τρίτον ἐνδύεται τὸ λεγόμενον ἐφώδη, τῷ δὲ διακένῳ τούτου 162 163
τοῦ ἐνδύματος σύνεστι περίτμημα σπιθαμῆς τὸ μέγεθος χρυσῷ τὲ καὶ τοῖς αὐτοῖς τῷ
ἐφώδῃ βάμμασι διηνθισμένον· ἐσσὴν μὲν καλεῖται, σημαίνει δὲ τοῦτο καθ' Ἕλληνας λόγιον.
πορποῦσι δὲ τὴν ἐπωμίδα σαρδώνυχες δύο κατὰ τῶν ὤμων. γέγραπται δὲ τούτοις τῶν 165 166
Ἰακώβου παίδων τὰ ὀνόματα γράμμασιν ἐπιχωρίοις γλώσσῃ τῇ ἡμετέρᾳ κατὰ ἓξ
τῶν λίθων ἑκατέρῳ· οἱ πρεσβύτεροι δ' εἰσὶ κατὰ ὦμον τὸν δεξιόν. ἐπίασι δὲ
καὶ τὴν ἐσσήνην λίθοι δώδεκα μεγέθει καὶ κάλλει διαφέροντες, οὐ κτητὸς ἀνθρώποις
κόσμος διὰ τιμῆς ὑπερβολὴν ὄντες· οὗτοι μέντοι κατὰ στίχον τρεῖς ἐπὶ τεσσάρων 167
διακείμενοι γραμμῶν ἐνήσκηνται τῷ ὕφει, καὶ ἡ μὲν πρώτη τριὰς ἐστὶ σαρδώνυξ τόπαζος 168
σμάραγδος, ἡ δευτέρα δὲ ἄνθρακα παρέχεται καὶ ἴασπιν καὶ σάπφειρον, ἡ δὲ τρίτη λίγυρον
ἀμέθυσον ἀχάτην, τετάρτου δὲ στίχου χρυσόλιθος πρόκειται, εἶτα ὄνυξ καὶ βήρυλος.
γράμματα δὲ ἐπετέτμητο πᾶσι τῶν Ἰακώβου υἱῶν, οὓς καὶ φυλάχους νομίζομεν, ἑκάστου 169
τῶν λίθων ὀνόματι τετιμημένου κατὰ τάξιν ἣν ἕκαστον αὐτῶν γενήσεσθαι συμβέβηκε.
ζώνη δὲ τῷ ἐσσήνῃ προσέρραπται βάμμασι μετὰ χρυσίου προσφερής, ἣ περιοδεύσασα 171
δεῖται πάλιν ἐπὶ τῇ ῥαφῇ καὶ κατακρημνᾶται. πῖλος δὲ ἦν καὶ παραπλήσιος τοῖς πᾶσιν 172
ἱερεῦσιν, ὑπ' αὐτὸν δὲ συνερραμμένος ἕτερος ἐξ ὑακίνθου πεποικιλμένος περιέρχεται στέ-
φανος χρύσεος ἐπὶ τριστιχίαν κεχαλκευμένος. θάλλει δ' ἐπ' αὐτῷ κάλυξ χρύσεος τῇ
σακχάρῳ βοτάνῃ παρ' ἡμῖν λεγομένῃ ἀπομεμιμημένος, ὑὸς κύαμον ταύτην προσαγορεύουσιν
Ἕλληνες. ἐκ τούτου μὲν στέφανος ἐκκεχάλκευται ὅσον ἀπὸ τοῦ ἰνίου πρὸς ἑκάτερον τῶν 178
κροτάφων. τὸ δὲ μέτωπον ἡ μὲν ἐφιελὴς οὐκ ἔπεισι· λεγέσθω γὰρ οὕτως ὁ κάλυξ· τελα-
μὼν δ' ἐστὶ χρύσεος, ὃς ἱεροῖς γράμμασι τῆς τοῦ θεοῦ προσηγορίας ἐπιτετμημένος ἐστί.
Θαυμάσειε δ' ἄν τις τὸν νομοθέτην ὡς θεῖον ἄνδρα· ἕκαστα γὰρ εἰς ἀπομίμησιν καὶ 179 180
διατύπωσιν τῶν ὅλων εὑρήσει γεγονότα· τήν τε γὰρ σκηνὴν εἰς τρία νείμας καὶ δύο μέρη 181

1 γὰρ] δὲ Henn. — 4 καλεῖται] σημαίνει Iosephus. — τάλαντον Iosephus. — 6 ἱδρύεται Henn. ἵδρυτο Iosephus. — 8 ἐτίθεντο] Henn. Zonaras. ἐτίθετο Busb. — 9 γίνεται Busb. — 11 μηρὶν Henn. — 12 ἀπήρτηντο Iosephus. — 14 τούτοις Henn. et Iosephus. — τὸν-ἐφώδην Iosephus. — 16 μὲν om. Henn. — 17 ἐγγέγραπται Iosephus. — 19 κατὰ] καὶ τὰ Busb. — ἑκατέρῳ, post ω littera erasa Busb. — 20 τὴν] τὸν Iosephus. — 26 τετιμημένον, ι expunctum Henn. — 27 προσέρραπτο Iosephus et ex corr. Henn.

τροφὴν ἀπηγόρευσε τὴν χρῆσιν ψυχὴν αὐτὸ καὶ πνεῦμα νομίζων, καὶ κρέως τοῦ τεθνη-
κότος αὐτομάτως ζώου τὴν βρῶσιν ἐκώλυε, ἐπίπλου τὲ καὶ στέατος αἰγείου καὶ προβατείου
καὶ τοῦ τῶν βοῶν ἀπέχεσθαι προεῖπεν. ἀπήλασε δὲ τῆς πόλεως καὶ τοὺς λέπρᾳ τὰ
261 σώματα κακωθέντας καὶ τοὺς περὶ τὴν γονὴν ῥεομένους· καὶ τὰς γυναῖκας, αἷς ἡ τῶν κατὰ
φύσιν ἐπίοι ἔκκρισις, μετέστησε πρὸς ἡμέραν ἑβδόμην, μεθ᾽ ἣν ὡς ἤδη καθαραῖς ἐνδημεῖν
ἐφίησιν. ὁμοίως δὲ καὶ τοῖς κηδεύσασι νεκρὸν μετὰ τοσαύτας ἡμέρας νόμιμον τὸ ἐνδημεῖν,
262 τὸν δ᾽ ὑπὲρ τούτων τῶν ἡμερῶν ἐνεχόμενον ἐν τῷ μιάσματι θύειν νόμιμον ἀμνάδας δύο,
ὧν τὴν μὲν ἑτέραν καθαγνίζειν δεῖ, τὴν δὲ ἑτέραν οἱ ἱερεῖς λαμβάνουσιν. ὁμοίως δὲ
263 θύουσι καὶ περὶ τοῦ τὴν γονὴν ῥεομένου. ὃς δ᾽ ἂν κατὰ τοὺς ὕπνους ἀποκρίνοι γονήν,
καθεὶς ἑαυτὸν εἰς ὕδωρ ψυχρὸν ὁμοίως ταῖς γυναιξὶ πλησιάζουσιν ἐξουσίαν ἔχει. τοὺς δὲ
264 λεπροὺς εἰς τὸ παντελὲς ἐξήλασε τῆς πόλεως μηδενὶ συνδιαιτωμένους καὶ νεκροῦ μηδὲν
διαφέροντας· ἐὰν δέ τις ἀπολυθῇ τῆς νόσου, οὗτος ποικίλαις ἀμείβεται θυσίαις τὸν θεόν.
τὰς δὲ γυναῖκας ἐπειδ᾽ ἂν τέκωσιν εἰς τὸ ἱερὸν εἰσιέναι κεκώλυκε καὶ θυσιῶν ἀπέχεσθαι
269 μέχρι τεσσαράκοντα ἡμερῶν, ἂν ἄρρεν ᾖ τὸ τεχθέν· διπλασίονας γὰρ εἶναι τὰς ἡμέρας
ἐπὶ θηλυτοκίαις νενόμισται. εἰσιοῦσαι δὲ μετὰ τὰς προθεσμίας θυσίας ἐπιτελοῦσιν.
270 ἂν δ᾽ ὑπονοήσῃ μεμοιχεῦσθαι τίς τὴν ἑαυτοῦ γυναῖκα, κριθῆς ἀληλεσμένης ἀσσάρωνα
κομίζει, καὶ μίαν αὐτῆς δράκα ἐπιβαλόντες τῷ θεῷ τὸ λοιπὸν τοῖς ἱερεῦσι διδόασιν εἰς τροφήν.
τὴν δὲ γυναῖκα στήσας τίς τῶν ἱερέων κατὰ τὰς πύλας, αἵ δ᾽ εἰσὶ τετραμμέναι πρὸς τὸν
νεών, καὶ τῆς κεφαλῆς τὸ ἱμάτιον ἀφελὼν ἐπιγράφει μὲν τοῦ θεοῦ προσηγορίαν διφθέρᾳ,
271 κελεύει δὲ ὀμνύειν μηδὲν ἠδικηκέναι τὸν ἄνδρα, παραβᾶσαν δὲ τὸ σῶφρον τοῦ δεξιοῦ
σκέλους ἔξαρθρον γενέσθαι καὶ τὴν γαστέρα πρισθεῖσαν οὕτως ἀποθανεῖν· ἂν δ᾽ ὑπὸ
πολλοῦ τοῦ ἔρωτος καὶ τῆς διὰ τοῦτον ζηλοτυπίας προπετῶς ὁ ἀνὴρ διὰ τὴν ὑπόνοιαν εἴη
272 κεκινημένος, μηνὶ δεκάτῳ παιδίον γενέσθαι ἄρρεν αὐτῇ. τῶν δ᾽ ὅρκων τελειωθέντων τῆς
διφθέρας ἀπαλείψας τοὔνομα εἰς φιάλην ἐκπιέζει, προκομίσας τὲ ἐκ τοῦ ἱεροῦ γῆς εἴ τι
προστύχοι καὶ καταπάσας ἐκπιεῖν δίδωσιν· ἣ δ᾽ εἰ μὲν ἀδίκως ἐνεκλήθη, ἐγκύμων τὲ
273 γίνεται καὶ τελεσφορεῖ κατὰ τὴν γαστέρα· ψευσαμένη δὲ τὸν ἄνδρα ἐπὶ τοῖς γάμοις καὶ
τὸν θεὸν ἐπὶ τοῖς ὅρκοις μετ᾽ αἰσχύνης καταστρέφει τὸν βίον τοῦ τε σκέλους ἐκπεσόντος
αὐτῇ καὶ τὴν κοιλίαν ὑδέρου καταλαβόντος. καὶ τὰ μὲν περὶ τῶν θυσιῶν οὕτω· νόμους
δὲ τοιούτους ἔθετο.

274 Μοιχείαν μὲν εἰς τὸ παντελὲς ἀπεῖπε καὶ τὸ μίσγεσθαι μητράσι καὶ τὸ πατρὸς συνεῖναι
275 γαμετῇ καὶ τηθίσι καὶ ἀδελφαῖς καὶ παίδων γυναιξίν. ἐκώλυσε δὲ καὶ γυναικὶ μεμιασμένῃ
τοῖς κατὰ φύσιν πλησιάζειν μηδὲ κτήνεσιν εἰς συνουσίαν φοιτᾶν μηδὲ τὴν πρὸς τὰ ἄρρενα
276 μίξιν τιμᾶν, κατὰ δὲ τῶν εἰς ταῦτ᾽ ἐξυβρισάντων θάνατον ὥρισε τὴν τιμωρίαν. τοὺς δ᾽ ἱερεῖς
καὶ ταῦτα φυλάξασθαι διετάξατο καὶ προσέτι γαμεῖν τὰς ἡταιρηκυίας ἐκώλυσε, μήτε μὴν
δούλην μήτ᾽ αἰχμάλωτον καὶ τὰς ἐκ καπηλείας καὶ τοῦ πανδοχεύειν πεπορισμένας τὸν βίον,
277 μηδὲ τὰς ἀνδρῶν ἐφ᾽ αἰσδηποτοῦν αἰτίαις ἀπηλλαγμένας. τὸν ἀρχιερέα μέντοι οὐδὲ τεθνη-
κότος ἀνδρὸς ἠξίωσε γυναῖκα λαβεῖν, τοῦτο τοῖς ἄλλοις ἱερεῦσι συγχωρῶν, μόνην δὲ αὐτῷ

2 στίατ[α] Busb. στέατα Henn. — 8 καθαγίζειν Henn. — 10 ταῖς] τοῖς Iosephus. — 13 ἀπέχεσθαι] ἅπτεσθαι Iosephus. — 15 νενόμισται] συμβέβηκεν Iosephus. — 21 πρησθεῖσαν Iosephus. — 30 τηθίσι Iosephus. — 37 ἱερεῦσι om. Henn.



Zonaras I p. 66 Bonn.

δέδωκε γαμεῖν παρθένον. ὅθεν οὐδὲ νεκρῷ πρόσεισιν ὁ ἀρχιερεὺς τῶν λοιπῶν κεκωλυμένων
ἀδελφοῖς καὶ γονεῦσι καὶ παισὶ τοῖς αὐτῶν προσιέναι μετὰ τὴν μετάστασιν. τὸν δὲ μὴ 278
ὁλόκληρον τῶν ἱερέων νέμεσθαι πρὸς τοὺς ἱερεῖς ἐκέλευσε τὰ γέρα, ἀναβαίνειν δὲ ἐπὶ τὸν
βωμὸν καὶ εἰσιέναι εἰς τὸν ναὸν ἐκώλυσε· καθαρούς τ᾽ εἶναι περὶ τὰς ἱερουργίας, καὶ τὴν
δίαιταν ἑαυτῶν τηρεῖν ἄμεμπτον εἶναι. ὅθεν οἱ τὴν ἱερατικὴν φοροῦντες στολὴν 279
ἄμωμοί τε εἰσὶ καὶ περὶ πάντα καθαροὶ καὶ πίνειν οἶνον ἕως οὗ τὴν στολὴν ἔχουσι κεκώ-
λυνται· καὶ τὰ ἱερεῖα ἃ θύουσιν ὁλόκληρα καὶ κατὰ μηδὲν λελωβημένα προσάγειν ἐθέσπισεν.
ἐπειδὰν δὲ τὴν Χαναναίαν λάβωσι δι᾽ ἑβδόμου ἔτους ἄνεσιν δίδωσι τῇ γῇ ὥσπερ καὶ 280 281
αὐτοῖς δι᾽ ἑβδόμης ἡμέρας ἀπὸ τῶν ἔργων ἀνάπαυσιν. καὶ τῶν αὐτομάτως ἀναδοθέντων
ἀπὸ τῆς γῆς κοινὴν εἶναι τοῖς θέλουσι τὴν χρῆσιν ὁμοφύλοις τε καὶ ἀλλοτρίοις· ποιεῖν δὲ
τοῦτο καὶ μεθ᾽ ἑβδόμην ἐτῶν ἑβδομάδα. ταῦτα πεντήκοντα μέν ἐστι τὰ πάντα, καλεῖται δὲ 282
ὁ πεντηκοστὸς ἐνιαυτὸς ἰώβηλος, ἐν ᾧ οἵ τε χρεῶσται τῶν δανείων ἀφίενται καὶ οἱ δουλεύοντες
ἐλευθεροῦνται, οὓς ὄντας ὁμοφύλους καὶ παραβάντας τί τῶν νομίμων τῷ σχήματι τῆς
δουλείας ἐκόλασε θάνατον οὐκ ἐκδεχομένους. ἀποδίδωσι δὲ καὶ τοὺς ἀγροὺς τοῖς ἀρχῆθεν 283
αὐτῶν δεσπόταις τοῦτον τὸν τρόπον· ἐνστάντος τοῦ ἰωβήλου, ἐλευθερίαν δὲ σημαίνει τὸ
ὄνομα, συνέρχονται ὅ τε ἀποδόμενος τὸ χωρίον καὶ ὁ πριάμενος, καὶ λογισάμενοι τοὺς
καρποὺς καὶ τὰς εἰς τὸ χωρίον δαπάνας τῶν μὲν καρπῶν πλεονάζειν εὑρεθέντων προσδέ-
χεται τὸν ἀγρὸν ὁ ἀποδόμενος, τοῦ δὲ ἀναλώματος ὑπερβάλλοντος ὑπὲρ τοῦ λείποντος 284
καταβαλὼν τὸ ἱκνούμενον ἔχεται τῆς κτήσεως, ἴσων δ᾽ ἀριθμουμένων τῶν ἀναλωμάτων
καὶ τῶν καρπῶν ἀποδίδοται τοῖς καὶ πρότερον νεμηθεῖσι. τὸ δ᾽ αὐτὸ καὶ ἐπὶ ταῖς κατὰ 285
κώμας πεπραμέναις οἰκίαις νόμιμον ἐβεβαίωσε, τὰς δ᾽ ἐν πόλει πεπραμένας εἰ μὲν πρὸ
τοῦ τελειωθῆναι τὸν ἐνιαυτὸν καταβάλοι τὸ ἀργύριον, ἀναγκάζει τὸν πριάμενον ἀποδοῦναι,
εἰ δὲ παρέλθοι τὸ ἔτος, βεβαιοῖ τὴν κτῆσιν τῷ πριαμένῳ.

Μετὰ δὲ τὴν τῶν νόμων διαταγὴν πρὸς ἐξέτασιν ἐτράπη Μωσῆς τοῦ στρατοῦ προσ- 287
τάσσει τὲ τοῖς φυλάρχοις ἀκριβώσασθαι τὸν ἀριθμὸν τῶν δυναμένων στρατεύεσθαι πλὴν
τῆς Λευίτιδος φυλῆς ἱερᾶς οὔσης καὶ πάντων ἀτελοῦς. εὑρέθησαν οὖν τῶν ὁπλιτεύειν 288
δυναμένων μυριάδες ξ′ καὶ τρισχίλιοι πρὸς χ′ καὶ ν′ ἀπὸ εἴκοσιν ἐτῶν ἕως ν′. ἀντὶ δὲ
Λευὶ κατέλεξεν εἰς τοὺς φυλάρχους Μανασσῆ τὸν Ἰωσήπου παῖδα καὶ Ἐφραίμην ἀντὶ τοῦ
Ἰωσήπου· δέησις ἦν αὕτη Ἰακώβου πρὸς Ἰώσηπον ποιητοὺς αὐτῷ παρασχεῖν τοὺς παῖδας.
μέσον δὲ ἡ σκηνὴ κατεπήγνυτο τριῶν φυλῶν καθ᾽ ἑκάστην πλευρὰν παρασκηνουμένων· 289
τὰ δὲ περὶ τὴν σκηνὴν πρῶτοι μὲν οἱ ἱερεῖς κατεῖχον, ἔπειτα δὲ οἱ Λευῖται πάντες, 290
ἐξητάσθησαν γὰρ καὶ αὐτοὶ καὶ ἦν τὸ ἄρσεν ὅσον τριακοστὴν εἶχεν ἡμέραν γενόμενον δισμύριοι
καὶ τρισχίλιοι πρὸς ὀκτακοσίοις ὀγδοήκοντα. καὶ ἐφ᾽ ὅσον μὲν ὑπὲρ τὴν σκηνὴν συνέβαινεν
ἑστάναι τὴν νεφέλην, μένειν αὐτὴν ὡς ἐπιδημοῦντος ἐδόκει τοῦ θεοῦ, τρεπομένης δὲ
ταύτης μετανίστασθαι. εὗρε καὶ βυκάνης τρόπον ἐξ ἀργύρου πεποιημένης, ἔστι δὲ τοιαύτη· 291
μῆκος μὲν ἔχει πηχυαῖον ὀλίγῳ λεῖπον, στενὴ δ᾽ ἐστὶ σύριγξ αὐλοῦ βραχὺ παχυτέρα, παρέ-
χουσα δὲ εὖρος ἀρκοῦν ἐπὶ τῷ στόματι πρὸς ὑποδοχὴν πνεύματος εἰς κώδωνα ταῖς σάλ-

1 λοιπῶν οὐ κεκωλυμένων Iosephus. — 6 οἱ om. Henn. — 7 ἃ et προσάγειν ἐθέσπισεν om. Iosephus. — 21 κώμαις Busb. — 23 παρέλθοι] πλήρες γένοιτο Iosephus. — 25 ἀκριβώσασθαι] ἀκριβῶς ἐκμαθεῖν Iosephus. — 28 Μανασσῆν Zonaras et Iosephus. — 35 πεποιμένης Busb.

Zonaras I p. 66 sq. Bonn.

πιγξι παραπλησίως τελοῦντα· ἀσωστρὰ καλεῖται κατὰ τὴν Ἑβραίων γλῶτταν. θύει δὲ
294 τότε πρῶτον ἐπὶ τῆς ἐρήμου τὴν πάσχα λεγομένην.
Καὶ βραχὺ διαλιπὼν ἀπανίσταται τοῦ Σιναίου καὶ τόπους ἀμείψας εἰς τὸ χωρίον
295 Σερμὼθ λεγόμενον παρῆν, κἀκεῖ τὸ πλῆθος στασιάζει τὸν Μωυσῆν αἰτιώμενον, ὅτι γῆς
296 αὐτοὺς ἀγαθῆς ἀποστήσας ἐν ταύταις ἀλᾶσθαι ταῖς ταλαιπωρίαις πεποίηκεν, ὕδατος μὲν
298 σπανίζοντας, εἰ δὲ καὶ τὴν μάννα ἐπιλιπεῖν συμβαίη, τέλεον ἀπολουμένους. ὁ δὲ καίπερ
299 αἰσχρῶς περιυβρισμένος πλῆθος αὐτοῖς παρέξειν κρεῶν ὑπισχνεῖτο. ἅμα ταῦτ᾽ ἔλεγε καὶ
πίμπλαται τὸ στρατόπεδον ὀρτύγων ἅπαν καὶ ἤθροιζον αὐτοὺς περιστάντες. ὁ μέντοι
θεὸς οὐκ εἰς μακρὰν μετέρχεται τοὺς Ἑβραίους τῆς εἰς αὐτὸν θρασύτητος· ἀπέθανε γὰρ
οὐκ ὀλίγον πλῆθος αὐτῶν, καὶ νῦν ἔτι ὁ χῶρος Καβρωθαβὰ ὀνομάζεται, ὅ ἐστιν ἐπιθυμίας
300 μνημεῖα. ἀναγαγὼν δὲ αὐτοὺς ἐκεῖθεν ὁ Μωυσῆς εἰς τὴν καλουμένην Φάραγγα πλησίον
302 οὖσαν τῆς Χαναναίων γῆς κατασκόπους ἔγνω στεῖλαι, οἳ τῆς γῆς τὴν ἀρετὴν κατανοήσουσι
303 καὶ τὴν δύναμιν αὐτῶν. καὶ τὸ πλῆθος τοὺς κατασκόπους αἱρεῖται ἐξ ἑκάστης φυλῆς ἕνα,
304 οἳ διελθόντες τὴν Χαναναίαν ἅπασαν τεσσαράκοντα ἡμέραις παρῆσαν καὶ καρποὺς ὧν
ἔφερεν ἡ γῆ κομίζονται, τῷ μὲν πλήθει τῶν ἀγαθῶν τῆς χώρας πολεμεῖν ἐπαίροντες τὸ
πλῆθος, φοβοῦντες δὲ πάλιν αὐτὸ τῷ τῆς κτήσεως ἀπόρῳ διά τε ποταμῶν μεγέθη καὶ ὀρῶν
305 δυσχωρίας καὶ πόλεων ὀχυρότητα. ἐν δὲ Χεβρῶνι καὶ τῶν γιγάντων ἔλεγον τοὺς ἀπο-
307 γόνους καταλαβεῖν. τὸ δὲ πλῆθος τὸν Μωυσῆν πάλιν ᾐτιῶντο ἔχοντες δι᾽ ἐννοίας κατα-
308 λεύσαντες τὸν Μωυσῆν καὶ τὸν Ἀαρῶνα εἰς τὴν Αἴγυπτον ὑποστρέφειν. τῶν δὲ κατα-
σκόπων Ἰησοῦς ὁ Ναυήχου καὶ Χάλεβος χωροῦσιν εἰς μέσους θαρσεῖν δεόμενοι, καί
309 „ἴωμεν, ἔφασαν, ἐπὶ τοὺς πολεμίους μηδὲν ὑποπτεύοντες ἡγεμόνα τῷ θεῷ πεπιστευκότες“
310 Μωσῆς δὲ καὶ Ἀαρὼν πεσόντες ἐπὶ τὴν γῆν τὸν θεὸν ἱκέτευον οὐχ ὑπὲρ τῆς ἑαυτῶν
σωτηρίας, ἀλλ᾽ ὅπως τῆς ἀμαθίας παύσῃ τὸ πλῆθος. παρῆν δὲ ἡ νεφέλη καὶ ἐσήμαινε
311 τὴν ἐπιφάνειαν τοῦ θεοῦ. Μωυσῆς δὲ θαρσήσας πάρεισιν εἰς τὸ πλῆθος λέγων ὀργι-
313 σθῆναι τὸν θεὸν ὑπὸ τῆς ὕβρεως αὐτῶν, μὴ ἀπολεῖν μέντοι πάντας μηδὲ τὸ γένος ἐξα-
314 φανίσειν, τὴν δὲ Χαναναίαν μὴ παρέξειν αὐτοῖς, ἀνεστίους δ᾽ ἐᾶσαι καὶ ἀπόλιδας ἐπὶ τῆς
ἐρημίας βιῶναι ἐπ᾽ ἔτη τεσσαράκοντα· παισί γέ τοι παραδώσειν τὴν γῆν τοῖς αὐτῶν
κἀκείνους τῶν ἀγαθῶν, ὧν ἑαυτοῖς ὑπὸ τῆς ἀκρασίας ἐφθόνησαν, ποιήσειν δεσπότας.
315 ταῦτα Μωσέως κατὰ τὴν τοῦ θεοῦ γνώμην διαλεχθέντος ἐν λύπῃ τὸ πλῆθος ἐγένετο.
περιέχει ὁ λόγος χρόνον ἐτῶν δύο.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος τέταρτος.

Ἑβραῖοι δὲ καὶ τοῦ θεοῦ κωλύοντος τῶν Χαναναίων πεῖραν λαμβάνειν ἤθελον καὶ μὴ
3 πειθαρχεῖν Μωϋσῇ, συμφέρειν δ᾽ αὐτοῖς τὸ αὐτοκράτορσιν εἶναι, καὶ μὴ κατὰ τὴν ἐκείνου
6 βούλησιν ζῆν. καὶ ταῦτα λογιζόμενοι ἐπὶ τὴν πρὸς τοὺς Χαναναίους μάχην ὡρμήκεσαν.

5 Σερμὼθ] Ἐσερμὼθ Iosephus. — 10 καβρωβαθὰ Busb. — 12 τῆς Χ. γῆς] τοῖς Χ. ὁρίοις Iosephus. — 15 κομίζοντες Iosephus Zonaras. — 17 ἔλεγον] ἔφασκον Iosephus. — 19 εἰς] ἐπὶ Iosephus. — 21 ἡγεμόνι Iosephus. — 25 μὴ] Zonaras μηδὲ Henn., om. Busb. — 25 μηδὲ] οὐδ᾽ Iosephus. — 26 μὴ] οὐ Iosephus. — 28 δεσπότην man. 1 Busb. — 29 ἐγένοντο Busb. ex correctura. — 30 ἐτῶν νβ´ Henn. — 33 κατὰ τὴν] Henn. κατ᾽ αὐτὴν Busb.



Zonaras I p. 67 Bonn.

οἱ δ᾽ οὐ καταπλαγέντες αὐτῶν τὴν ἔφοδον γενναίως αὐτοὺς ἐδέξαντο, τῶν δ᾽ Ἑβραίων 7
ἀποθνήσκουσι πολλοὶ καὶ τὸ λοιπὸν στράτευμα τῆς φάλαγγος αὐτῶν διαλυθείσης ἀκόσμως
διωκόμενον εἰς τὴν παρεμβολὴν συνέφυγε, καὶ τῷ παρ᾽ ἐλπίδας δυστυχῆσαι οὐδὲν ἔτι 8
χρηστὸν προσεδόκα. Μωυσῆς δὲ φοβούμενος, μὴ θαρσήσαντες οἱ πολέμιοι ἐπ᾽ αὐτοὺς 9
ἔλθοιεν, ἀναστήσας τὸ στράτευμα προῆλθεν εἰς τὴν ἔρημον. οἱ δὲ τότε μᾶλλον ἐξηγανάκτουν 10 11
καὶ πρὸς ἀλλήλους καὶ πρὸς τὸν ἡγεμόνα. στάσις οὖν αὐτοὺς κατέλαβεν ἐξ αἰτίας τοιαύτης. 12 13
Κορῆς Ἑβραίων ἐν τοῖς μάλιστα γένει καὶ πλούτῳ, ἱκανός δ᾽ εἰπεῖν καὶ δήμοις ὁμιλεῖν 14
πιθανώτατος, ὁρῶν ἐν ὑπερβαλούσῃ τιμῇ τὸν Μωυσῆν χαλεπῶς εἶχεν ὑπὸ φθόνου, φυλέτης
ὢν αὐτοῦ καὶ συγγενής, καὶ παρὰ τοῖς Λευίταις κατεβόα φυλέταις οὖσιν, ὡς τὴν ἱερωσύνην 15
τἀδελφῷ δόντος μὴ τῷ κοινῷ δόγματι τοῦ πλήθους ἀλλ᾽ αὐτοῦ ψηφισαμένου, τυράννου 16
τε τρόπῳ καταχαριζομένου τὰς τιμὰς οἷς ἂν ἐθέλοι. τίνι γὰρ λόγῳ Ἀαρῶνι καὶ τοῖς υἱέσι 18
τὴν ἱερωσύνην παρέδωκεν; εἰ μὲν ὡς ἐκ τῆς Λευίτιδος φυλῆς, ἐγὼ ταύτης τυχεῖν δικαιό- 19
τερος, γένει μὲν ὁ αὐτὸς ὢν Μωσεῖ, πλούτῳ δὲ καὶ ἡλικίᾳ διαφέρων· εἰ δὲ τῇ πρεσβυτάτῃ
τῶν φυλῶν, εἰκότως ἂν ἡ Ῥουβήλου τὴν τιμὴν ἔχοι λαμβανόντων αὐτὴν Λαθάμου καὶ
Ἀβειρώμου καὶ Φαλαοῦς“. καὶ ὁ μὲν ταῦτα κακοήθως ἔλεγε. προϊόντος δὲ εἰς πλείους 20 21
τοῦ λόγου ἀναπίμπλαται τούτων ἅπας ὁ στρατός· ἦσαν δὲ οἱ συντεταγμένοι τῷ Κορῇ
πεντήκοντα καὶ σ´ τῶν πρώτων ἄνδρες. ἀνηρέθιστο δὲ καὶ τὸ πλῆθος καὶ βάλλειν τὸν 22
Μωυσῆν ὡρμήκεσαν. Μωυσῆς δὲ οὐκ ἔδεισεν, ἀλλὰ τὸν ἀδελφὸν εἰδὼς κατὰ τὴν τοῦ θεοῦ 24
προαίρεσιν τῆς ἱερωσύνης τυχόντα, οὐ κατὰ τὴν αὐτοῦ χάριν, ἧκεν εἰς τὴν ἐκκλησίαν. καὶ 25
πρὸς τὸν Κορῆν βοῶν ἐφ᾽ ὅσον ἠδύνατο, „ἐμοί, φησίν, ὦ Κορῆ, καὶ σὺ καὶ τούτων ἕκαστος,“
ἀπεδήλου δὲ τοὺς ν´ καὶ σ´, „ἄνδρες τιμῆς ἄξιοι δοκεῖτε, τὴν δ᾽ ἱερωσύνην οὐκ αὐτὸς τῷ 26
ἀδελφῷ δέδωκα, ἀλλ᾽ ὁ θεὸς ἀπελέξατο τὸν ἱερωσόμενον αὐτῷ· νῦν οὖν κατατίθησιν 28 29
αὐτὴν εἰς μέσον ἐπιδικάσιμον τοῖς βουλομένοις. κρινεῖ τοίνυν καὶ πάλιν αὐτός, τίνας βού- 31
λεται ὑπὲρ ἡμῶν αὐτῷ θυσίας ἐπιτελεῖν καὶ προεστάναι τῆς εὐσεβείας. πρωῒ οὖν ὅσοι 32
τῆς ἱερωσύνης ἀντιποιεῖσθε κομίζων ἕκαστος θυμιατήριον οἴκοθεν σὺν θυμιάμασι καὶ πῦρ
πάριτε. καὶ σὺ δέ, Κορῆ, παραχωρήσας τὴν κρίσιν τῷ θεῷ τὴν αὐτοῦ μένε ψηφοφορίαν, 33
παραγίνου δὲ κριθησόμενος οὕτως περὶ τοῦ γέρως. καὶ Ἀαρῶνα δὲ προσδέξασθε συγκρι-
θησόμενον, καὶ θυσιάσατε συνελθόντες ἐν φανερῷ παντὶ τῷ λαῷ, καὶ θυομένων 34
ὑμῶν οὗπερ ἂν τὴν θυσίαν ἥδιω κρίνειεν ὁ θεός, οὗτος ἡμῖν ἱερεὺς κεχειροτονήσεται“.
ταῦτα Μωσέως εἰπόντος τὸ πλῆθος ἐπῄνεσε. τῇ δ᾽ ἐπιούσῃ συνῆλθον εἰς τὴν ἐκκλησίαν 35
τὸ πλῆθος. Μωσῆς δὲ πέμψας ὑπηρέτας πρὸς Ἀβείρωμον καὶ Λαθάμην ἐκέλευεν ἥκειν 37
κατὰ τὰ συγκείμενα καὶ περιμένειν τὴν ἱερουργίαν. ὡς δ᾽ οὔτε ὑπακούσεσθαι τοῖς ἀγγέλοις 38
ἔφασαν καὶ Μωυσῆν οὐ περιόψεσθαι κατὰ τοῦ λαοῦ αὐξανόμενον, ἀκούσας τὰ παρ᾽ αὐτῶν
ὁ Μωσῆς ἀκολουθεῖν αὐτῷ τοὺς προβούλους κελεύσας ἀπῄει πρὸς τοὺς περὶ Λαθάμην.
οἱ δὲ τῶν σκηνῶν προελθόντες γυναιξὶν ἅμα καὶ τέκνοις ἀπέβλεπον, τί καὶ μέλλοι ποιεῖν 39
ὁ Μωσῆς. ὁ δὲ πλησίον γεγονὼς τὰς χεῖρας εἰς οὐρανὸν ἀνασχὼν μέγα βοήσας, „δέσποτα, 40
φησί, ἐπεὶ κακουργεῖν ὑποπτεύομαι παρ᾽ ἀνδράσιν, οἷς ἐκ τῶν ἐμῶν καμάτων ὑπάρχει τὸ 43
περιεῖναι, αὐτὸς ἐλθὲ δικαστής μου καὶ μάρτυς ἀδωροδόκητος, εἰ κατ᾽ ἐμὴν χάριν ἀλλ᾽ οὐχὶ 46

6 αὐτοὺς om. Henn. — 7 δ᾽ om. Henn. — 8 ὑπερβαλλούσῃ Henn. — 15 ἀφαλοῦσ Henn. — 23 αὐτὴν] αὐτὸν Busb. Henn. — 28 θυμιάσατε Henn. — θυμιομένων Henn. — 32 ὑπακούσασθαι Henn. — 34 προβούλος Busb. προβόλους Henn. — κελεύσας] ἀξιώσας Iosephus.

Zonaras I p. 71 Bonn.

Ἐπιτίθεται Ὤγης ὁ τῆς Γαλαδηνῆς καὶ Γαυλανίτιδος
96 Ἐν τούτοις οὖσι τοῖς Ἰσραηλίταις ἐπιτίθεται Ὤγης ὁ τῆς Γαλαδηνῆς καὶ Γαυλανίτιδος
βασιλεὺς στρατὸν ἄγων ἐπὶ συμμαχίᾳ τοῦ Σηχῶνος, καὶ ἐκείνου δὲ ἀπολωλότος εἰς μάχην
97 ἔρχεται τοῖς Ἑβραίοις. αὐτός τε οὖν θνήσκει κατὰ τὴν μάχην καὶ ὁ στρατὸς αὐτοῦ δια-
φθείρεται. Μωϋσῆς δὲ διεξῄει τῆς Ὤγου βασιλείας τὰς πόλεις καταστρεφόμενος καὶ κτείνων
98 τοὺς ἐνοικοῦντας. Ὤγῃ δὲ μέγεθός τε καὶ κάλλος ἦν οἷον ὀλίγοις σφόδρα, ἦν δὲ καὶ κατὰ
99 χεῖρα γενναῖος. τούτου τοίνυν πταίσαντος ἐπέδωκεν Ἑβραίοις τὰ πράγματα· καὶ γὰρ πόλεις
ἑξήκοντα ὑποτελεῖς ἐκείνῳ παρέλαβον καὶ λείαν πολλήν.
100 Μωυσῆς μὲν οὖν ἀγαγὼν τὴν δύναμιν κατὰ τὸ μέγα πεδίον στρατοπεδεύει Ἱεριχοῦντος
ἄντικρυς, πόλις δ᾽ ἐστὶν εὐδαίμων αὕτη φοίνικάς τε φέρουσα καὶ βάλσαμον νεμομένη.
101 θύσας δὲ χαριστήρια τῷ θεῷ μέρος τί τῶν ὁπλιτῶν ἐξέπεμψε δῃώσοντας τὴν Μαδιηνιτῶν
102 γῆν ἐξ αἰτίας τοιαύτης· Βάλακος ὁ τῶν Μωαβιτῶν βασιλεὺς φιλίας οὔσης αὐτῷ πρὸς
104 Μαδιανίτας, πρεσβεύεται πρὸς αὐτοὺς παρακαλέσαι τὸν μάντιν Βάλαμον, ὃς ἄριστος ἦν
τῶν τότε καὶ πρὸς αὐτοὺς ἐπιτηδείως ἔχων, ὅπως ἂν ἐπ᾽ ἐξωλείᾳ τῶν Ἰσραηλιτῶν ἀρὰς
105 ποιήσηται παραγενόμενος. πέμπουσιν οὖν πρὸς αὐτοὺς ἄνδρας μετὰ τῶν Βαλάκου πρέσ-
βεων. ὁ δὲ τὴν αἰτίαν τῆς μετακλήσεως γνοὺς ἀνέκρινε τὸν θεὸν περὶ τούτου. τοῦ δ᾽
106 ἐμποδὼν στάντος τὸν θεὸν ἀντιλέγειν τῇ αὐτοῦ προαιρέσει ἐδήλου τοῖς πρέσβεσι, συνε-
βούλευέ τε ἀπιέναι τὴν ἔχθραν τὴν πρὸς τοὺς Ἰσραηλίτας καταλυσαμένους, ὡς τῷ θεῷ δι᾽
107 εὐνοίας ὄντος τοῦ στρατοῦ, ᾧ καταρασόμενος μετακέκληται. Μαδιανῖται δὲ σφόδρα ἐγκει-
μένου Βαλάκου πάλιν πέμπουσι πρὸς τὸν Βάλαμον. ὁ δ᾽ αὖθις ἤρετο τὸν θεόν, καὶ ὃς
108 ἕπεσθαι κελεύει τοῖς πρέσβεσι. καὶ ὁ μὲν ἀπῄει, κατὰ δὲ τὴν ὁδὸν ἀγγέλου θείου προσ-
βαλόντος αὐτῷ κατά τι χωρίον στενὸν περιειλημμένον αἱμασιαῖς διπλαῖς ἡ ὄνος, ἐφ᾽ ἧς
ὁ Βάλαμος ὠχεῖτο, συνεῖσα τοῦ θείου πνεύματος ὑπέκλινε τὸν Βάλαμον πρὸς τὸν ἕτερον
τῶν θριγγῶν ἀναισθήτως ἔχουσα τῶν πληγῶν, ἃς ὁ Βάλαμος ἐπέφερεν αὐτῇ κακοπαθῶν
109 τῇ θλίψει τῇ παρὰ τὸ θριγγίον. φωνὴν δ᾽ ἀνθρωπίνην κατὰ θείαν βούλησιν
λαβοῦσα ἄδικον ἐκάλει τὸν Βάλαμον, ὡς πληγὰς αὐτῇ ἐπιφέροντα καὶ μὴ συνιέντα
110 ὅτι ἐκ θεοῦ οἷς αὐτὸς ἔσπευσεν ὑπηρετεῖν εἴργεται. ταραττομένου δ᾽ αὐτοῦ διὰ τὴν
111 ἀνθρωπίνην φωνὴν ἐπιφανεὶς ὁ ἄγγελος αὐτὸς τὴν ὁδὸν ἔλεγε κωλύειν τῷ κτήνει, βουλό-
μενον δ᾽ ἀναστρέφειν χωρεῖν πρόσω παρώρμησε καὶ ὅπερ ἂν αὐτῷ κατὰ νοῦν τὸ θεῖον
112 ποιήσειε τοῦτο σημαίνειν. καὶ ὁ μὲν ἧκει πρὸς Βάλακον καὶ ἤθελε σκέπτεσθαι, πῶς τὸ
113 τῶν Ἑβραίων ἔχει στρατόπεδον. καὶ εἰς τὸ ὄρος ἀχθεὶς καὶ ἰδὼν αὐτοὺς βωμοὺς ἐκέλευσεν
ἑπτὰ γενέσθαι καὶ τοσούτους ταύρους καὶ κριοὺς παραστῆναι, οὓς καὶ ὁλοκαυτεῖ
114 τυθέντας. ὡς οὖν τροπὴν οἶδε σημαινομένην, „ὁ λεώς, φησίν, οὗτος εὐδαίμων, ᾧ δίδωσιν
ὁ θεὸς μυρίων τε κτῆσιν ἀγαθῶν καὶ σύμμαχον τὴν ἑαυτοῦ πρόνοιαν. ὡς οὐδέν ἐστιν
ἀνθρώπειον γένος, οὗ μὴ κατ᾽ ἀρετὴν ὑμεῖς ἀμείνους κριθήσεσθε θεοῦ ὑμᾶς ἐφορῶντος.
115 γῆν τε οὖν ἐφ᾽ ἣν ὑμᾶς ἔστειλεν αὐτὸς καθέξετε, ἀρκέσετε δὲ τῷ κόσμῳ παρασχεῖν ἑκάστη
116 γῆ τῶν ἐφ᾽ ὑμῖν ἑτέρου γένους οἰκήτορας. θαυμάζεσθε τοίνυν, ὦ μακάριος στρατός, ὅτι
τοσοῦτος ἐξ ἑνὸς πατρὸς γεγόνατε. ἀλλὰ τὸν νῦν ὀλίγον ὑμῶν ἡ Χαναναία χωρήσει γῆ,
τὴν δ᾽ οἰκουμένην οἰκητήριον δι᾽ αἰῶνος ἴστε προκειμένην ὑμῖν, καὶ τὸ πλῆθος ὑμεῖς ἐν

23 ἀπέκλινε Iosephus. — 27 ὑπηρέτας Busb. Henn. — 29 αὐτῷ] αὐτὸ Busb. Henn. — 31 καὶ ἰδὼν] κατιδὼν Iosephus. — 33 οἶδε] εἶδε Iosephus.



Zonaras I p. 72 Bonn.

τε νήσοις καὶ κατ᾽ ἤπειρον βιοτεύσετε ὅσον ἐστὶν οὐδ᾽ ἀριθμὸς ἀστέρων ἐν οὐρανῷ.
τοσούτοις δὲ οὖσιν οὐκ ἀπαγορεύσει τὸ θεῖον ἀφθονίαν μὲν παντοίων ἀγαθῶν ἐν εἰρήνῃ
χορηγοῦν, νίκην δὲ καὶ κράτος ἐν πολέμοις. παῖδας ἐχθρῶν ἔρως τοῦ πρὸς ὑμᾶς πολέμου λάβοι· 117
οὐ γὰρ ἂν ὑποστρέψειαν ἔτι. τοσοῦτον ὑμῖν ἀνδρείας τὸ περιὸν ἐκ θεοῦ προνοίας ἀνήρτηται". 118
καὶ ὁ μὲν τοιαῦτα ἐπεθείασεν, οὐκ ὢν ἐν ἑαυτῷ, τῷ δὲ θείῳ πνεύματι κεκινημένος. τοῦ δὲ
Βαλάκου δυσχεραίνοντος ὡς ἀντὶ κατάρας ὕμνου τοῖς ἐναντίοις καὶ μακαρισμοῦ γεγονότος,
„ὦ Βάλακε, φησίν, οὐκ ἐφ᾽ ἡμῖν περὶ τῶν τοιούτων σιγᾶν ἢ λέγειν, ἀλλ᾽ ἃς βούλεται τὸ 119
τοῦ θεοῦ πνεῦμα φωνὰς ἀφίησιν, ὅταν ἡμᾶς λάβῃ. ἐμοὶ δὲ χαρίζεσθαι σοι βουλομένῳ 123
βωμὸν αὖθις καὶ θύματα ἑτοιμάσατε". ἑτοιμασθέντων οὖν δὶς τέθυκε, τὸ δὲ θεῖον τὰς 124
κατὰ τῶν Ἰσραηλιτῶν ἀρὰς οὐκ ἐπένευσε, πεσὼν δ᾽ ἐπὶ στόμα πάθη προύλεγεν ὅσα τε 125
βασιλεῦσιν ἔσται καὶ ὅσα πόλεσιν. Βάλακος δὲ ἀποπέμπει τὸν Βάλαμον μὴ ἀξιώσας 126
τιμῆς, ὁ δὲ ἀπιὼν ἔφη „τὸ μὲν Ἑβραίων γένος οὐκ ἂν ὄλεθρος παντελὴς καταλάβῃ· πρό- 127 128
νοια γάρ ἐστιν αὐτῶν τῷ θεῷ· ὑμεῖς δὲ εἰ νίκην τινὰ πρὸς βραχὺ κατ᾽ αὐτῶν κερδᾶναι 129
ποθεῖτε, ταῦτα ποιήσατε· τῶν θυγατέρων τὰς εὐπρεπεστέρας πέμψατε πλησίον ἐσομένας
τοῦ ἐκείνων στρατοπέδου, καὶ δεομένοις συνεῖναι τοῖς νεανίαις αὐτῶν προστάξατε. ἐπειδ᾽ 130
ἂν δὲ κεχειρωμένους ὁρῶσι ταῖς ἐπιθυμίαις, καταλιπέτωσαν καὶ παρακαλούντων μένειν μὴ
ἐπινευέτωσαν, πρὶν ἂν πείσωσιν αὐτοὺς ἀφέντας τιμᾶν ὃν σέβονται θεὸν τοὺς Μαδιηνιτῶν
καὶ Μωαβιτῶν σέβωσι". καὶ ὁ μὲν ταῦθ᾽ ὑποθέμενος ᾤχετο. τῶν δὲ Μαδιηνιτῶν πεμ- 131
ψάντων τὰς θυγατέρας οἱ τῶν Ἑβραίων ἁλίσκονται νέοι· αἱ δ᾽ ἀσμένως δεξάμεναι τού-
τους συνῄεσαν αὐτοῖς, ἐνδησάμεναι δὲ τούτους τῷ ἔρωτι περὶ ἀπαλλαγὴν ἐγίνοντο. οἱ δ᾽ 132
ἐλιπάρουν μὴ καταλιπεῖν σφᾶς ἀλλὰ γαμετὰς αὐτῶν ἐσομένας αὐτόθι μένειν. αἱ δ᾽ ὡς 133 135
δεδουλωμένους αὐτοὺς κατενόησαν, ἔλεγον ἀγαπήσειν τὴν μετ᾽ αὐτῶν συνοίκησιν, εἰ πίστιν
τῆς ἐξ αὐτῶν εὐνοίας λάβοιεν. τῶν δ᾽ ἣν βούλονται πίστιν δώσειν ὁμολογούντων ἔφασαν 136 137
ἐκεῖναι, ὡς ἀνάγκη βουλομένοις ὑμῖν συνοικεῖν καὶ θεοὺς τοὺς ἡμετέρους σέβειν καὶ τροφὰς
τὰς αὐτὰς προσίεσθαι. οἱ δ᾽ ὑπὸ τοῦ ἔρωτος παραβάντες τὰ πάτρια καὶ θύειν κατὰ 139
νόμον τὸν ἐπιχώριον προέθεντο καὶ ξενικοῖς ἔχαιρον βρώμασιν, ὡς διὰ παντὸς ἤδη τοῦ 140
στρατοῦ τὴν παρανομίαν χωρεῖν τῶν νέων. ἅπαξ γὰρ τὸ νέον γευσάμενον ξενικῶν ἐθισμῶν
ἀπλήστως ἐνεφορεῖτο, καί τινες τῶν πρώτων ἀνδρῶν συνδιεφθείροντο, καὶ Ζαμβρίας ὁ τῆς 141
Συμεωνίτιδος φυλῆς ἡγούμενος Χοσμῇ συνὼν Μαδιηνίτιδι οὔτ᾽ ἔθυε τὰ πάτρια καὶ γάμον
ἀλλόφυλον ἦγεν. Μωσῆς δὲ δείσας, μὴ γένηταί τι χεῖρον, συναγαγὼν εἰς ἐκκλησίαν τὸν 142
λαὸν ἔλεγεν, ὡς οὐκ ἄξια δρῷεν αὐτῶν οὐδὲ πατέρων τὴν ἡδονὴν προτιμήσαντες τοῦ θεοῦ 143
καὶ τοῦ κατὰ τοῦτον βιοῦν. καὶ ὁ μὲν τοιαῦτα λέγων ἐπειρᾶτο τοὺς νέους ἐπανορθοῦν. 144
ἀναστὰς δὲ Ζαμβρίας „σὺ μέν, εἶπεν, ὦ Μωυσῆ, χρῶ νόμοις οἷς αὐτὸς ἐσπούδακας, 145
ἐμέ δ᾽ οὐκ ἂν ἀκόλουθον οἷς σὺ προστάσσεις τυραννικῶς λάβῃς. ἐγὼ δὲ γύναιόν 146 148
τε ξενικόν, ὡς φῄς, ἦγμαι θύω τε θεοῖς οἷς θύειν μὴ νομίζετε, δίκαιον ἡγούμενος μὴ ὥσπερ 149
ἐν τυραννίδι ζῆν τὴν ὅλην ἐξ ἑνὸς ἐλπίδα τοῦ βίου παντὸς ἀνηρτηκότα. τοῦ δὲ Ζαμβρίου 150
ταῦτα εἰπόντος διαλύεται μὲν ὁ σύλλογος, προελήλυθει δ᾽ ἂν τὸ κακὸν ἐπὶ πλέον, εἰ 151

p. 40, 37 ὑμεῖς] ἡμεῖς Busb. — 1 ἀριθμὸν Busb. Henn. ἀστέρων ἀριθμὸν tr. Henn. — 5 ἐπεθείαζεν Iosephus. — 20 δὲ τούτους supra versum, τῷ i. ras. Busb. — 29 Χοσμῇ, ο in α corr. Busb. — 29 Μαδιανίτιδι Zonaras. — 34 λάβοις Iosephus. — 35 μὴ] οὐχ Iosephus.

205 ἀλλοτριωτάτους ἑαυτοῖς νομισθήσεσθαι. ἔστω δὲ καὶ δεκάτη τῶν καρπῶν ἐξαίρεσις ὑμῖν
χωρὶς τοῖς ἱερεῦσι καὶ Λευίταις δοθησομένης, ἣ πιπρασκέσθω μὲν ἐπὶ τῆς πατρίδος, εἰς δὲ
206 τὰς εὐωχίας ὑπηρετείτω καὶ τὰς θυσίας αὐτῶν τὰς ἐν τῇ ἱερᾷ πόλει. ἐκ μισθοῦ γυναικὸς ἡται-
ρημένης θυσίας μὴ τελεῖν, μηδ' ἂν ἐπ' ὀχεύσει κυνὸς ἤτοι θηρευτικοῦ ἢ ποιμνίων φύλακος
207 λάβοι τις μισθόν, ἐκ τούτου θύειν τῷ θεῷ. βλασφημείτω μηδεὶς θεούς, οὓς πόλεις ἄλλαι
νομίζουσι. μὴ συλᾶν ἱερὰ ξενικὰ μηδ' ἂν ἐπωνομασμένον ᾖ τινι θεῷ κειμήλιον λαμβάνειν.
208 μηδείς δ' ἐξ ὑμῶν τὴν ἐξ ἐρίου καὶ λίνου στολὴν φορείτω· τοῖς γὰρ ἱερεῦσι μόνοις ταύτην
209 ἀποδεδεῖχθαι. τῆς ἑορτῆς δὲ τῆς σκηνοπηγίας ἐνστάσης ὁ ἀρχιερεὺς ἀναγινωσκέτω τοὺς
211 νόμους πᾶσι, καὶ μήτε γυνὴ μήτε παῖδες εἰργέσθωσαν τοῦ ἀκούειν μήτε οἱ δοῦλοι· μαν-
212 θανέτωσαν δὲ καὶ οἱ παῖδες πρῶτον τοὺς νόμους. δίς δ' ἑκάστης ἡμέρας ἀρχομένης καὶ
τελευτώσης εὐχαριστεῖν τῷ θεῷ ἐπ' ἀμοιβῇ μὲν τῶν ἤδη γεγονότων προτροπῇ δὲ τῶν ἐσομένων.
213 ἐπιγράφειν καὶ τοῖς θυρώμασι τὰ μέγιστα ὧν εὐηργέτησεν αὐτοὺς ὁ θεός, ὅσα τὲ τὴν
ἰσχὺν ἀποσημαίνειν δύναται τοῦ θεοῦ καὶ τὴν πρὸς αὐτοὺς εὔνοιαν φέρειν ἐγγεγραμμένα
214 ἐπὶ τῆς κεφαλῆς καὶ τοῦ βραχίονος. ἀρχέτωσαν δὲ καθ' ἑκάστην πόλιν ἄνδρες ἑπτὰ οἱ
ἀρετὴν καὶ τὸ δίκαιον ἠσκηκότες· ἑκάστῃ δὲ ἀρχῇ δύο ἄνδρες ὑπηρετήσουσιν ἐκ τῆς τῶν
215 Λευιτῶν φυλῆς. ἔστωσαν δὲ καὶ οἱ δικάζειν λαχόντες ταῖς πόλεσιν ἐν ἁπάσῃ τιμῇ, καὶ
μήτε βλασφημεῖν ἐκείνων παρόντων μήτε θρασύνεσθαι τισὶν ἐξεῖναι, τῆς πρὸς τοὺς ἐν
ἀξιώματι τῶν ἀνθρώπων αἰδοῦς εὐλαβεστέρους αὐτούς, ὥστε τοῦ θεοῖ μὴ καταφρονεῖν,
216 ἀπεργαζομένης. οἱ δὲ δικασταὶ ἀποφήνασθαι κύριοι περὶ τοῦ δόξαντος αὐτοῖς ἔστωσαν,
πλὴν εἰ μή τις χρήματα λαβόντας αὐτοὺς ἐπὶ διαφθορᾷ τοῦ δικαίου ἐνδείξεται ἢ ἄλλην
218 τινὰ αἰτίαν προφέρει, καθ' ἣν οὐ καλῶς ἐλέγχει αὐτοὺς ἀποφηναμένους· ἂν δ' οἱ δικασταὶ
μὴ νοῶσι περί τινων ἀποφήνασθαι, συμβαίνει δὲ πολλὰ τοιαῦτα τοῖς ἀνθρώποις, ἀκέραιον
ἀναπεμπέτωσαν τὴν δίκην εἰς τὴν ἱερὰν πόλιν, καὶ συνελθόντες ὅ τε ἀρχιερεὺς καὶ ὁ προφήτης
219 καὶ ἡ γερουσία τὸ δοκοῦν ἀποφαινέσθωσαν. εἷς δὲ μὴ πιστευέσθω μάρτυς, ἀλλὰ τρεῖς
ἢ τὸ τελευταῖον δύο, ὧν τὴν μαρτυρίαν ἀληθῆ ποιήσει τὰ προβεβιωμένα. γυναικῶν δὲ
μαρτυρία οὐκ ἀσφαλὴς διὰ κουφότητα καὶ θράσος τοῦ γένους αὐτῶν· μαρτυρείτωσαν δὲ
μήτε δοῦλοι, οὓς ἢ διὰ κέρδος εἰκὸς ἢ διὰ φόβον μὴ τἀληθῆ μαρτυρῆσαι. ἂν δέ τις ψευ-
220 δῆ μαρτυρήσῃ, πασχέτω ὅσα ὁ καταμαρτυρηθεὶς πάσχειν ἔμελλεν. ἂν δὲ πραχθέντος
φόνου ἔν τινι χώρᾳ μὴ εὑρίσκηται ὁ δράσας μηθ' ὑπονοεῖται τίς, ζητείτω μὲν αὐτὸν μετὰ
πολλῆς σπουδῆς· μηδενὸς δὲ μηνύοντος αἱ ἀρχαὶ τῶν πόλεων τῶν πλησίον τῇ χώρᾳ, ἐν ᾗ ὁ φόνος
ἐπράχθη, καὶ ἡ γερουσία συνελθοῦσαι μετρείτωσαν ἀπὸ τοῦ τόπου, ὅπου κεῖται ὁ νεκρός,
221 τὴν χώραν· ἣ δ' ἂν ᾖ πλησιαιτάτη πόλις, οἱ ἐν αὐτῇ δημόσιοι πριάμενοι δάμαλιν κομί-
σαντες εἰς φάραγγα καὶ ἀνεπιτήδειον ἀρότρῳ καὶ φυτοῖς χωρίον, τοὺς τένοντας κοψάτωσαν
222 τῆς βοός, καὶ χέρνιβας ἑλόμενοι ὑπὲρ κεφαλῆς τῆς βοὸς οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ ἡ
γερουσία τῆς πόλεως ἐκείνης καθαρὰς ἀναβοησάτωσαν τὰς χεῖρας ἔχειν ἀπὸ τοῦ φόνου
223 καὶ μήτε δρᾶσαι μήτε δρωμένῳ παρατυχεῖν. ἀριστοκρατίας μὲν οὖν κράτιστον καὶ ὁ κατ' αὐτὴν
βίος· ἀρκεῖ γὰρ ὁ θεὸς ἡγεμὼν εἶναι. βασιλέως δὲ εἰ γένοιτο ἔρως ὑμῖν, ἔστω οὗτος ὁμόφυλος,
224 πρασσέτω δὲ μηδὲν δίχα τοῦ ἀρχιερέως καὶ τῆς τῶν γερουσιαστῶν γνώμης, γάμοις δὲ μὴ

25 *τελευταῖον*] *ἔλαττον* Henn. — 26 *οὐκ ἀσφαλής*] *μὴ ἔστω* Iosephus. — 31 *συνελθόντες* Iosephus. — 36 *ἀριστοκρατία* Iosephus. — 38 *δὲ πολλοῖς μὴ* transponit Henn.



πολλοῖς χρῷτο μηδὲ πλήθη διώκοι χρημάτων μηδ' ἵππων, ὧν αὐτῷ γεγονότων ὑπερήφανος
ἂν τῶν νόμων ἔσοιτο. ὅρους γῆς μὴ ἐξέστω κινεῖν μήτε οἰκείους μήτ' ἀλλοτρίους πρὸς οὓς 225
ἐστὶν ὑμῖν εἰρήνη, ὡς πολέμων ἐντεῦθεν καὶ στάσεων γινομένων ἐκ τοῦ πλεονεκτοῦντας
προσωτέρω χωρεῖν βούλεσθαι τῶν ὅρων· μὴ γὰρ μακρὰν εἶναι καὶ τοῦ τοὺς νόμους ὑπερ-
βαίνειν τοὺς τὸν ὅρον μετακινοῦντας. γῆν ὁ φυτεύσας, πρὸ ἐτῶν τεσσάρων ἂν καρπὸν 226
προβάλῃ τὰ φυτά, μήτε τῷ θεῷ ἀπαρχὰς ἐντεῦθεν ἀποφερέτω μήτ' αὐτὸς χρήσθω· τῷ 227
δὲ τετάρτῳ τρυγάτω πᾶν τὸ γινόμενον, καὶ εἰς τὴν ἱερὰν πόλιν κομιζέτω, καὶ σὺν τῇ
δεκάτῃ τοῦ ἄλλου καρποῦ μετὰ τῶν φίλων εὐωχούμενος ἀναλισκέτω καὶ μετὰ ὀρφανῶν καὶ
χηρῶν, πέμπτου δὲ ἔτους τὰ φυτὰ καρπούσθω. τὴν ἀμπέλοις κατάφυτον γῆν μὴ σπείρειν. 228
βουσὶν ἀροῦν τὴν γῆν, ἕτερον ζῶον μὴ συζευγνύντας, ἀλλὰ κατ' οἰκεῖα γένη κἀκείνοις ποι-
εῖσθαι τὸ ἄροτρον. εἶναι δὲ καθαρὰ τὰ σπέρματα καὶ ἀνεπίμικτα καὶ μὴ συνδύο καὶ
τρία σπείρειν. μηδὲ κτήνεσιν ἐπάγειν ὅσα μὴ συγγενῆ, ἵνα μὴ καὶ μέχρι τῶν ἀνθρώπων 229
ἐκ τούτων διαβῇ τὸ κακόν. ἀμῶντας δὲ μὴ καλαμᾶσθαι, καταλείπειν δὲ καὶ τῶν δραγ- 231
μάτων τινὰ τοῖς βίου σπανίζουσι πρὸς διατροφήν· ὁμοίως δὲ καὶ τῆς τρύγης ἀπολείπειν
τὰς ἐπιφυλλίδας τοῖς πένησι καὶ τῶν ἐλαιῶν παρεῖναί τι τοῦ καρποῦ συλλέξαι τοῖς μὴ
ἔχουσιν ἴδια. μηδὲ βοῶν ἀλοούντων ἀποδεῖν τὰ στόματα. μηδὲ ὀπώρας κωλύειν ἅπτεσθαι 233 234
ἀκμαζούσης τοὺς ὁδῷ βαδίζοντας, ἐπιφέρεσθαι δ' αὐτοῖς μὴ ἐξέστω. μηδ' εἰς τὰς ληνοὺς 235
κομίζοντες βότρυας εἰργέτωσαν τοὺς ὑπαντιάζοντας ἐπεσθίειν, κἂν ὑπ' αἰδοῦς ἅψασθαί τινες 236
ὀκνῶσι παρακαλείτωσαν λαβεῖν καὶ Ἰσραηλίτας καὶ ξένους· ἀναλώματα γὰρ οὐχ ἡγητέον ὅσα 237
τίς κατὰ χρηστότητα παρίησιν ἀνθρώποις λαμβάνειν. ὁ δὲ παρὰ ταῦτα ποιῶν πληγὰς μιᾶς 238
λειπούσης τεσσαράκοντα τῷ δημοσίῳ σκύτει λαμβάνων τιμωρίαν ταύτην αἰσχίστην ἐλεύ-
θερος ὑπομενέτω. ταῖς δεκάταις ταῖς δυσίν, ἃς ἔτους ἑκάστου προεῖπον τελεῖν, τὴν μὲν 240
τοῖς Λευίταις, τὴν δὲ πρὸς τὰς εὐωχίας, τρίτην πρὸς αὐταῖς κατὰ τὸ ἔτος τὸ τρίτον συμ-
φέρειν εἰς διανέμησιν χήραις καὶ ὀρφανοῖς καὶ πενομένοις. τῶν δ' ὡραίων ὅ τι καὶ πρῶτον 241
ἑκάστῳ τύχῃ γενόμενον εἰς τὸ ἱερὸν κομιζέτωσαν, καὶ τὸν θεὸν εὐλογήσαντες θυσίας τὲ
κατὰ νόμον ἐπιτελέσαντες τούτων τὰ πρωτόλεια τοῖς ἱερεῦσι διδότωσαν. ἐπειδὰν δὲ ταῦτα 242
ποιήσας τίς ἀπιέναι μέλλῃ πρὸς ἑαυτὸν οἴκαδε, στὰς ἄντικρυς τοῦ τεμενίσματος εὐχαριστεί-
τω τῷ θεῷ, μαρτυράμενος ὡς τάς τε δεκάτας καὶ τἆλλα κατὰ τοῦ Μωσέως τελέσειε νόμους. 243
γαμείτωσαν δ' ἐν ὥρᾳ γάμου γενόμενοι παρθένους ἐλευθέρας γονέων ἀγαθῶν, ὁ δὲ μὴ 244
παρθένον ἀγόμενος μὴ ζευγνύσθω συνοικοῦσαν ἄλλῳ νοθεύσας. δούλας δὲ μὴ γαμεῖσθαι
τοῖς ἐλευθέροις, μηδ' ἂν ὑπ' ἔρωτος πρὸς τοῦτο τινὸς ἐκβιάζοιντο. μηδὲ ἡταιρημένης εἶναι 245
γάμον· γένοιτο γὰρ ἂν οὕτω τῶν παίδων τὰ φρονήματα ἐλευθέρια καὶ πρὸς ἀρετὴν ὄρθια,
εἰ μὴ τύχοιεν ἐκ γάμων φύντες αἰσχρῶν. εἴ τις ὡς παρθένον μνηστευσάμενος ἔπειτα μὴ 246
τοιαύτην εὕροι, αὐτὸς μὲν κατηγορείτω, ἀπολογείσθω δὲ ὁ τῆς κόρης πατὴρ ἢ ὁ ἀδελφὸς ἢ
ὃς ἂν μετὰ τούτους ἐγγυτέρω δοκεῖ τοῦ γένους. καὶ κριθεῖσα μὲν ἡ κόρη μὴ ἀδικεῖν συνοι- 247
κείτω τῷ κατηγορήσαντι. ὁ δὲ τολμηρῶς ἐπενεγκὼν τὴν διαβολὴν πρόστιμον ἐκτινέτω μιᾶς 248
λειπούσης τεσσαράκοντα λαμβάνων πληγὰς καὶ πεντήκοντα σίκλους ἀποτιννύτω τῷ πατρί.
ἂν δ' ἐλέγξῃ τὴν παιδίσκην ἐφθαρμένην, δημότις μὲν οὖσα καταλευέσθω, ἂν δ' ἐξ ἱερέων

13 *δραμάτων* Busb. m. 1 et Henn. — 18 *κομίζοντας* Busb. Henn. — 18 *αἰδοῦς*] *αἰσχύνης* Iosephus. — 24 *καὶ πενομένοις* om. Iosephus. — 28 *καὶ τἆλλα* om. Iosephus. — 31 *τινός*] *τινες* Iosephus.

249 ἢ γεγεννημένη, καιέσθω ζῶσα. δύο γυναικῶν οὐσῶν τινί, καὶ τῆς μὲν εὐνοίᾳ σφόδρα κει-
μένης τῆς δ' ἑτέρας ἐν μοίρᾳ ἐλάττονι, ἂν ὁ ἐκ τῆς ἀγαπωμένης παῖς νεώτερος ὢν τοῦ ἐκ
τῆς ἑτέρας φύντος ἀξιοῖ διὰ τὴν πρὸς τὴν μητέρα τοῦ πατρὸς εὔνοιαν τῶν πρεσβείων
τυγχάνειν, ὥστε διπλοῦν τὸ μέρος τῆς πατρῴας οὐσίας λαμβάνειν, μὴ συγχωρείσθω.
251 ὁ κόρην ἄλλῳ κατηγγυημένην φθείρας, εἰ μὲν πείσας καὶ συγκατανεύουσαν σχών, ἀποθνη-
252 σκέτω σὺν αὐτῇ, εἰ δὲ μόνῃ περιπεσὼν βιάσεται, μόνος θνησκέτω. ὁ φθείρας παρθένον
μήπω κατηγγυημένην αὐτὸς γαμείτω· ἢν δὲ τῷ πατρὶ τῆς κόρης μὴ δόξῃ συνοικίζειν αὐτῷ,
253 πεντήκοντα σίκλους τιμὴν τῆς ὕβρεως καταβαλλέτω. ὁ δὲ τῆς συνοικούσης διαζευχθῆναι
βουλόμενος καθ' ἡντιναοῦν αἰτίαν γράμμασι περὶ τοῦ μηδέποτε συνελθεῖν ἰσχυριζέσθω·
λάβοι γὰρ ἂν οὕτως ἐξουσίαν ἡ γυνὴ συνοικεῖν ἑτέρῳ, πρότερον δ' οὐκ ἐφετέον· εἰ δὲ καὶ
πρὸς ἐκεῖνον κακωθῇ ἢ τελευτήσαντος ἐκείνου θελήσει γαμεῖν ὁ πρότερον, μὴ ἐξεῖναι
254 αὐτὴν ἐπανιέναι. τὴν ἄτεκνον τοῦ ἀνδρὸς αὐτῇ τετελευτηκότος ὁ ἀδελφὸς ἐκείνου
γαμείτω καὶ τὸν παῖδα τὸν γεννώμενον τῷ τοῦ τεθνεῶτος καλέσας ὀνόματι τρεφέτω τοῦ
255 κλήρου διάδοχον. ἐὰν δὲ μὴ βούληται γαμεῖν ὁ ἀδελφός, ἐπὶ τὴν γερουσίαν ἐλθοῦσα ἡ
γυνὴ μαρτυράσθω τοῦτο, ὅτι βουλομένην αὐτὴν ἐπὶ τοῦ οἴκου μένειν καὶ τεκνοῦν ἐξ αὐτοῦ
μὴ προσδέχοιτο. ἐρομένης δὲ τῆς γερουσίας, διὰ τί ἀλλοτρίως ἔχει πρὸς τὸν γάμον, ἄν τε
256 μικρὰ ἄν τε μείζονα λέγῃ, πρὸς ταῦτα ῥεπέτω. ὑπολύσασα δ' αὐτὸν ἡ γυνὴ τἀδελφοῦ τὰ
σάνδαλα καὶ πτύσασα αὐτοῦ εἰς τὸ πρόσωπον ὡς ὑβρίσαντος τὴν τοῦ κατοιχομένου
257 μνήμην, ᾧπερ ἂν βουληθῇ γαμείσθω. ἂν δὲ αἰχμάλωτόν τις λάβῃ παρθένον ἄν τε καὶ
γεγαμημένην, μὴ πρότερον ἐξέστω εὐνῆς ἅψασθαι καὶ κοινωνίας, εἰ βούλοιτο συνοικεῖν, πρὶν
ἢ ξυραμένην αὐτὴν καὶ πένθιμον σχῆμα λαβοῦσαν θρηνῆσαι συγγενεῖς ἢ φίλους τοὺς
258 259 πεσόντας ἐν τῇ μάχῃ, ἔπειθ' οὕτως ἐπ' εὐωχίας τραπῆναι καὶ γάμους τριάκοντα ἡμερῶν
ἐπὶ τῷ πένθει διελθουσῶν. εἰ δὲ πλησθεὶς τῆς ἐπιθυμίας ὑπερηφανεύοιτο γαμετὴν ἔχειν
260 αὐτήν, μὴ καταδουλοῦν αὐτὴν ἐξέστω, ἀλλ' ὅπῃ βούλεται χωρεῖν ἀπίτω. ὅσοι δὲ τῶν νέων
περιφρονοῦσι τοὺς γονεῖς, λόγοις αὐτοὺς νουθετείτωσαν οἱ πατέρες, αὐτάρκεις γὰρ ἐφ' υἱέσιν
263 οὗτοι δικασταί. κἂν μὲν οὕτω θεραπεύοιτο τῶν νέων τὸ αὔθαδες, ἀπαλλαττέσθωσαν
264 τῶν ἐπὶ τοῖς ἡγνοημένοις ὀνειδῶν. ἂν δ' οἱ λόγοι καὶ ἡ παρ' αὐτῶν διδασκαλία μὴ πεί-
θοιεν σωφρονεῖν τὸν ἀτακτοῦντα, προσαχθεὶς ἔξω τῆς πόλεως καταλευέσθω καὶ μείνας
265 δι' ὅλης τῆς ἡμέρας εἰς θέαν θαπτέσθω νυκτός. οὕτως δὲ καὶ οἱ ὁπωσοῦν ὑπὸ τῶν νόμων
ἀναιρεθῆναι κατακριθέντες. θαπτέσθωσαν δὲ καὶ οἱ πολέμιοι καὶ νεκρὸς μηδεὶς ἄμοιρος
266 γῆς κείσθω. δανείζειν δ' ἐπὶ τόκοις Ἑβραίων ἐξέστω μηδενὶ μήτε βρωτὸν μήτε ποτόν.
267 οἱ δὲ λαβόντες εἴτε ἀργύρια εἴτέ τινα τῶν καρπῶν μεθ' ἡδονῆς ἀποδιδότωσαν τοῖς διδοῦσιν.
268 ἂν δὲ ἀναισχυντῶσι περὶ τὴν ἀπόδοσιν, μὴ πρὸς τὴν οἰκίαν βαδίσαντες ἐνεχυριάζειν πρὶν ἢ
δίκη περὶ τούτου γένηται· τὸ δ' ἐνέχυρον αἰτεῖν ἔξω καὶ τὸν ὀφείλοντα κομίζειν δι' αὐτοῦ μηδὲν
269 ἀντιλέγοντα τῷ μετὰ νόμου βοηθείας ἐπ' αὐτὸν ἥκοντι. κἂν μὲν εὔπορος ᾖ ὁ ἐνεχυρασμένος,
κατεχέτω τοῦτο μέχρι τῆς ἀποδόσεως, ἂν δὲ πένης, ἀποτιθέτω πρὶν ἡλίου δυσμῶν, καὶ μάλιστ'
270 ἂν ἱμάτιον ᾖ τὸ ἐνέχυρον. μύλην δὲ καὶ τὰ περὶ αὐτὴν σκεύη μὴ ἐξὸν λαμβάνειν ἐνέχυρον, ὅπως

5 συγκατανεύουσαν σχών] συγκάταινον λαβὼν Iosephus. — 11 θέλῃ Henn. — 15 μαρτυράσθω, ά i. rasura 3 litt. Busb. — 18 κατοιχομένου man. 2 Busb. — 19 βουληθείη Busb. — 22 πεσόντας] ἀπολωλότας Iosephus. — 26 τὸ om. Henn. — 31 δανίζειν Busb. man. 1 et Henn. — 33 βαδίσαντας Iosephus. — 38 σκεύην Busb.



μὴ ὑπ' ἐνδείας πάθωσι τί τῶν χειρόνων. ἐπ' ἀνθρώπου μὲν κλοπῇ θάνατος ἔστω ζημία, ὁ 271
δὲ χρυσὸν καὶ ἄργυρον ἀφελόμενος τὸ διπλοῦν ἀποτιννύτω. κτείνας δ' ἐπὶ τοῖς κατ' οἶκον
κλεπτομένοις τίς ἀθῷος ἔστω, κἂν εἰ πρὸς διορύγματι τοίχου. βόσκημα δὲ ὁ κλέψας τετρα- 272
πλῆν τὴν ζημίαν διδότω πλὴν βοός, πενταπλῆν δ' ὑπὲρ τούτου καταβαλλέτω.. ὁ δὲ τὸ
ἐπιτίμιον ἄπορος διαλύσασθαι δοῦλος ἔστω τοῖς καταδικασαμένοις. πραθεὶς δὲ ὁμοφύλῳ 273
τίς ἓξ χρόνοις δουλευέτω, τῷ δ' ἑβδόμῳ ἐλευθερούσθω· ἐὰν δὲ τέκνων αὐτῷ γενομένων ἐκ
δούλης παρὰ τῷ πριαμένῳ διὰ τὴν πρὸς τὰ οἰκεῖα φιλοστοργίαν ἕληται δουλεύειν, ἐνιαυτοῦ
ἐνστάντος ἰωβήλου, πεντηκοστὸς δὲ ἐνιαυτός ἐστιν οὗτος, ἐλευθερούσθω καὶ τὰ τέκνα καὶ
τὴν γυναῖκα ἐλευθέραν ἀπαγόμενος. ἐὰν δέ τις χρυσίον ἢ ἀργύριον εὕρῃ καθ' ὁδόν, ἐπι- 274
ζητήσας τὸν ἀπολωλεκότα ἀποδιδότω. ὁμοίως καὶ περὶ βοσκημάτων οἷς ἂν ἐντύχοι τίς
πλανωμένοις· μὴ εὑρεθέντος δὲ τοῦ κυρίου παραυτίκα παρ' αὐτῷ φυλαττέτω μαρτυράμενος
τὸν θεὸν μὴ νοσφίζεσθαι ἀλλότρια. μὴ ἐξεῖναι δὲ τινὶ παριέναι κτηνῶν ἐμπεπτωκότων ἐν 275
πηλῷ, συνδιασώζειν δὲ καὶ τὸν πόνον οἰκεῖον ἡγησάμενον βοηθεῖν· μηνύειν δὲ καὶ τὰς 276
ὁδοὺς τοῖς ἀγνοοῦσι. μηδὲ βλασφημείτω τίς τὸν ἀπόντα καὶ τὸν ἄοπτον. ἐν μάχῃ τίς 277
ὅπου μὴ σίδηρος πληγεὶς παραχρῆμα μὲν ἐκδικείσθω ταὐτὸν πεπονθότος τοῦ πεπληγότος.
ἂν δὲ κομισθεὶς παρ' ἑαυτὸν καὶ νοσήσας ἐπὶ πλείονας ἡμέρας ἀποθάνῃ, ἀθῷος ἔστω ὁ
πλήξας, σωθέντος δὲ ἀποτιννύτω πάνθ' ὅσα εἰς τὴν νοσηλείαν ἀνάλωσε καὶ ὅσα τοῖς
ἰατροῖς ἔδωκεν. ὁ γυναῖκα λακτίσας ἔγγυον, ἂν μὲν ἐξαμβλώσῃ ἡ γυνή, ζημιούσθω χρήματα 278
ὑπὸ τῶν δικαστῶν, διδόσθω δὲ καὶ τῷ ἀνδρὶ τῆς γυναικὸς παρ' αὐτοῦ χρήματα· θνησκού-
σης δ' ἐκ τῆς πληγῆς καὶ αὐτὸς θνησκέτω. φάρμακον μήτε θανάσιμον μήτε τῶν εἰς ἄλλας 279
βλάβας πεποιημένων Ἰσραηλιτῶν ἐχέτω μηδείς· ἂν δὲ κεκτημένος φωραθῇ τεθνάτω.
ὁ πηρώσας πασχέτω τὰ ὅμοια, πλὴν εἰ μήτι χρήματα λαβεῖν θελήσειεν ὁ πεπηρωμένος, 280
αὐτὸν τὸν πεπονθότα κύριον τοῦ νόμου ποιοῦντος τιμήσασθαι τὸ αὐτοῦ πάθος. βοῦν 281
τοῖς κέρασι πλήττοντα ὁ δεσπότης ἀποσφαττέτω· εἰ δὲ κτείνειε τινὰ πλήξας, αὐτὸς κατα-
λευσθεὶς ἀποθνησκέτω μηδ' εἰς τροφὴν εὔχρηστος εἶναι κατηξιωμένος, ἐὰν δὲ ὁ κεκτημένος
προειδὼς οὐκ ἐφυλάξατο, καὶ αὐτὸς ἀποθνησκέτω. ἐὰν δοῦλον ἢ δούλην ἀποκτείνῃ βοῦς, 282
αὐτὸς μὲν καταλιθοίσθω, τριάκοντα δὲ σίκλους ὁ κύριος αὐτοῦ δώσει τῷ δεσπότῃ τοῦ
ἀνῃρημένου. βοῦς δὲ ἂν οὕτω πληγεὶς ἀποθάνῃ, πωλείσθωσαν καὶ ὁ τεθνεὼς καὶ ὁ πλήξας
καὶ τὴν τιμὴν ἀμφότεροι οἱ δεσπόται διανεμέσθωσαν. οἱ φρέαρ ἢ λάκκον ὀρύξαντες καὶ 283
μὴ σανίσιν αὐτὰ κλείσαντες τὴν τιμὴν τῷ δεσπότῃ καταβαλλέτωσαν τοῦ ἐμπεσόντος εἴς 284
τι τοιοῦτον μὴ κλειστὸν βοσκήματος. παρακαταθήκην δὲ ὁ λαβὼν φυλακῆς ἀξιούτω, καὶ 285
μήτις ἀποστερῆσαι θρασυνθείη τὸν πεπιστευκότα. εἰ δὲ μηδὲν ἐπίβουλον δρῶν ὁ πιστευ- 287
θεὶς ἀπολέσειεν, ἀφικόμενος ἐπὶ τοὺς ἑπτὰ κριτὰς ὀμνυέτω τὸν θεόν, ὅτι μηδὲν παρὰ τὴν
ἑαυτοῦ βουλὴν ἀπώλετο οὐδὲ χρησαμένου τινὶ μέρει αὐτῆς, καὶ οὕτως ἀναίτιος ἀπίτω.
χρησάμενος δὲ κἂν ἐλαχίστῳ μέρει τῶν πεπιστευμένων ἀπολέσας τύχῃ, τὰ λοιπὰ πάντα
ἀποδοῦναι κατεγνώσθω. ἀνδρὸς πένητος οὐκ ἀποστερητέον μισθὸν μηδ' ἀναβάλλεσθαι τὴν 288
ἀπόδοσιν, ἀλλ' αὐθημερὸν ἐκτίνειν. παῖδας ὑπὲρ ἀδικίας πατέρων μὴ κολάζειν, οὐδὲ μὴν 289

6 χρόνοις] ἔτη Iosephus. — 7 ἕληται] βούληται Iosephus. — 9 ἐπαγόμενος Iosephus. — 10 ἀπολελωκότα Busb. — 18 χρήματα] χρήμασιν Iosephus. — 25 κεκτημένος] δεσπότης Iosephus. — 26 δούλην, η in rasura Busb.

Zonaras I p. 74 Bonn.

γάλλους ἐκτρέπεσθαι καὶ τοὺς ἀφελομένους αὐτῶν τὸ
290 πατράσιν υἱῶν ἁμαρτίαν λογιστέον. μὴ ἐξεῖναι δὲ ποιεῖν ἐκτομίας
291 ἄρσεν καὶ τὴν παιδοποιίαν ἐλαύνειν ὡς ἐπὶ τέκνων σφαγῇ. μέλλοντας δὲ πολεμεῖν πρεσβείαν στέλλειν
296 μήτε ἀνθρώπους μήτε τῶν ἄλλων ζώων. καὶ πειθο-
297 παρὰ τοὺς ἑκουσίως πολεμίους, ἀξιοῦντας μὴ ἀναγκάζεσθαι πολεμεῖν αὐτοῖς. στρατὸν ἐπ' αὐτοὺς ἄγειν ὑπὸ
μένων μὲν τὴν εἰρήνην φυλάττειν, εἰ δ' ἀδικεῖν ἐθέλοιεν, χειροτονητέον ἕνα τὸν ἀρετῇ
στρατηγῷ μὲν αὐτοκράτορι τῷ θεῷ, ὑποστράτηγον δὲ καθαρὸν ἐκ πάντων τῶν
298 προὔχοντα· πολυαρχία γὰρ οὐκ ἀγαθόν. στρατὸν δὲ ἄγειν ἀποκρίνοντας. τούς τε νεωστὶ
ῥώμῃ σώματος καὶ ψυχῆς εὐτολμίᾳ διαφερόντων τὸ δειλὸν
δειμαμένους οἰκίας, οἷς οὔπω χρόνος ἀπολαύσεως αὐτῶν ἐνιαύσιος, καὶ φυτεύσαντας, οὔπω
δὲ καρπῶν μετεσχηκότας, ἐᾶν κατὰ χώραν, καὶ τοὺς μνηστευσαμένους δὲ καὶ νεωστὶ
299 γεγαμηκότας, μὴ πόθῳ τούτων φειδόμενοι τοῦ ζῆν ἐθελοκακήσωσι. πολιορκοῦντας δὲ καὶ
ξύλων ἀπορουμένους εἰς ποίησιν μηχανημάτων μὴ κείρειν τὴν γῆν ἥμερα δένδρα κόπτοντας
300 ἀλλὰ φείδεσθαι. κρατήσαντες δὲ τὴν μάχην τοὺς ἀντιταξαμένους κτείνατε, τοὺς δ' ἄλλους
εἰς τὸ τελεῖν φόρους σώζετε πλὴν τοῦ Χαναναίων ἔθνους· τούτους γὰρ πανοικὶ χρῆναι
301 ἀφανίσαι. φυλάσσετε δὲ μάλιστα ἐν τῇ μάχῃ γυναῖκα ἀνδρικῇ σκευῇ μὴ χρῆσθαι μήτε
302 ἄνδρα στολῇ γυναικείᾳ. πολιτείαν μὲν οὖν τοιάνδε Μωσῆς καταλέλοιπε, νόμους δ' ἔτει
πρότερον τεσσαρακοστῷ γεγραμμένους παραδίδωσι καὶ κατάρας ἐπὶ τοὺς μὴ κατὰ τοὺς
303 νόμους ζησομένους, ποίησίν τε ἑξάμετρον αὐτοῖς ἀνέγνω πρόρρησιν περιέχουσαν τῶν
ἐσομένων, καθ' ἣν γέγονε πάντα καὶ γίνεται, μηδὲν ἐκείνου διημαρτηκότος τῆς ἀληθείας.
304 ταῦτ' οὖν τὰ βιβλία παραδίδωσι τοῖς ἱερεῦσι καὶ τὴν κιβωτόν, εἰς ἣν τοὺς δέκα λόγους
γεγαμμένους ἐν δυσὶ πλαξὶ κατέθετο, καὶ τὴν σκηνήν· καὶ τῷ λαῷ παρῄνεσε στρατεῦσαι
305 κατὰ τῶν Ἀμαληκιτῶν καὶ τιμωρίαν λαβεῖν ὧν ἐπὶ τῆς ἐρήμου ἐποίησαν κακῶς, ἐξελόντας
δὲ τὴν Χαναναίων γῆν καὶ διαφθείραντας τοὺς ἐν αὐτῇ βωμὸν ἐγεῖραι πρὸς ἥλιον ἀνί-
σχοντα τετραμμένον οὐ πόρρω τῆς Σικίμων πόλεως μεταξὺ δυοῖν ὀροῖν, Γαριζαίου μὲν ἐκ
δεξιῶν, τοῦ δ' ἐκ λαιῶν Βουλὴ προσαγορευομένου, μερισθεῖσαν δὲ τὴν στρατιὰν καθ' ἓξ
306 φυλὰς καὶ σὺν αὐτοῖς Λευίτας τε καὶ ἱερέας πρώτους τοὺς ἐν τῷ Γαριζὶν εὔχεσθαι
τὰ κάλλιστα τοῖς περὶ τὴν θρησκείαν καὶ τοὺς νόμους σπουδάσασιν, εὐφημεῖν δὲ τὰς
307 ἑτέρας, καὶ τούτων εὐχομένων τὰς προηγμένας ἐπαινεῖν· ἔπειτα τοῖς παραβησομένοις κατὰ
308 ταὐτὰ ἀρὰς τίθεσθαι. ἀνέγραψε δὲ τὰς εὐλογίας καὶ τὰς ἀρὰς αὐτὸς καὶ τῷ βωμῷ κατὰ
πλευρὰν ἑκατέραν ἐνέγραφεν, ᾗ καὶ στάντα φησὶ τὸν λαὸν θῦσαι τε καὶ ὁλοκαυτῶσαι καὶ
μετ' ἐκείνην τὴν ἡμέραν οὐκ ἔτ' ἐπενεγκεῖν ἱερεῖον ἕτερον· οὐ γὰρ εἶναι νόμιμον.
309 Τῇ δ' ὑστεραίᾳ τὸν λαὸν σὺν γυναιξὶν ἅμα καὶ τέκνοις συναγαγών, ὡς παρεῖναι καὶ
τὰ ἀνδράποδα, ὅρκου τῶν νόμων φυλακὴν ποιήσασθαι μηδὲν κυριώτερον οἰομένους αὐτῶν,
310 ἀλλ' ἄντε τίς τῶν ἐξ αἵματος συγχωρεῖν ἐπιχειρῇ τὴν κατ' αὐτοὺς πολιτείαν ἄν τε πόλις,
311 ἀμύνειν αὐτοὺς καὶ κοινῇ καὶ κατ' ἰδίαν. καὶ τὸ μὲν πλῆθος ὤμνυεν. ἐδίδασκεν αὐτούς, ὡς ἂν
αἱ θυσίαι τῷ θεῷ κεχαρισμέναι γίνοιντο καὶ ὅπως ἂν οἱ στρατεύοντες ἐξίοιεν τεκμηρίῳ χρώ-
312 μενοι τοῖς λίθοις. προεφήτευσε τε καὶ Ἰησοῦς Μωσέως παρόντος. ἔπειτα Μωσῆς προεῖπεν, ὅσα
315 συμβήσεσθαι ἔμελλον τῷ ἔθνει. παρορμήσας δὲ τὸν Ἰησοῦν ἐπὶ τοὺς Χαναναίους στρατεῦσαι,

---

3 στέλλειν] πέμπειν Iosephus. — 16 ἔτι man. 1 Busb. — 23 ἐγεῖραι] ἀναστῆσαι Iosephus. — 24 ὅροιν Busb. — 29 ταὐτὰ] ταῦτα Busb. — 34 συγχωρεῖν] συγχεῖν Iosephus. — 36 γίγνοιντο Henn.



Zonaras I p. 74 Bonn.

ὡς τοῦ θεοῦ συνεργοῦντος, „ἰδού, φησί, πρὸς τοὺς ἡμετέρους ἄπειμι προγόνους καὶ θεὸς
τήνδε μοι τὴν ἡμέραν τῆς πρὸς ἐκείνους ἀφίξεως ὥρισε“. τὸ δὲ πλῆθος εἰς δάκρυα πρού- 320
πεσεν, ὡς καὶ τὰς γυναῖκας στερνοτυπεῖσθαι καὶ τοὺς παῖδας θρηνεῖν ἔτι μᾶλλον. τεκμήραιτο 322
δ' ἄν τις καὶ τῆς τοῦ πλήθους οἰμωγῆς τὴν ὑπερβολὴν ἐκ τοῦ νικηθῆναι καὶ αὐτὸν Μωϋσῆν ἐπὶ
τοῖς πραττομένοις δακρύσαι. πορευομένῳ δ' οὗ ἔμελλεν ἀφανισθήσεσθαι πάντες εἵποντο 323
δεδακρυμένοι. καὶ Μωσῆς τοὺς μὲν πόρρω τῇ χειρὶ κατασείων μένειν ἐκέλευσε, τοὺς δ' ἔγγιον
λόγοις παρεκάλει μὴ ποιεῖν αὐτῷ δακρύειν τὴν ἀπαλλαγὴν ἑπομένους. οἱ δὲ κατέχουσιν ἑαυτοὺς 324
ἐν ἀλλήλοις δακρύοντες. μόνη δ' ἡ γερουσία προὔπεμψεν αὐτὸν καὶ ὁ ἀρχιερεὺς Ἐλεάζαρος
καὶ ὁ στρατηγὸς Ἰησοῦς. ὡς δ' ἐπὶ τῷ ὄρει τῷ Ἀβαρεῖ καλουμένῳ ἐγένετο, τοῦτο δ' ὑψηλὸν 325
Ἱεριχοῦντος ἄντικρυς κεῖται, ἀπέπεμπε τὴν γερουσίαν. ἀσπαζομένου δὲ καὶ τὸν Ἐλεάζαρον 326
αὐτοῦ καὶ Ἰησοῦν καὶ προσομιλοῦντος αὐτοῖς, νέφους αἰφνιδίως ὑπὲρ αὐτοῦ στάντος ἀφα-
νίζεται κατά τινος φάραγγος. γέγραφε δ' αὐτὸν ἐν ταῖς ἱεραῖς βίβλοις τεθνεῶτα, δείσας
μὴ δι' ὑπερβολὴν τῆς περὶ αὐτὸν ἀρετῆς πρὸς τὸ θεῖον ἀναχωρῆσαι τολμήσωσιν εἰπεῖν.
ἐβίωσε δὲ τὸν πάντα χρόνον ἐτῶν εἴκοσι καὶ ἑκατόν, ὧν ἦρξε τὸ τρίτον μέρος ἑνὸς λεί- 327
ποντος μηνός. ἐτελεύτησε δὲ τῷ ὑστάτῳ μηνὶ τοῦ ἔτους, ὑπὸ μὲν Μακεδόνων Δύστρῳ
καλουμένῳ, Ἀδάρῳ δὲ ὑφ' ἡμῶν νουμηνίᾳ, συνέσει τοὺς πώποτ' ἀνθρώπους ὑπερβαλὼν καὶ 328
τῶν παθῶν αὐτοκράτωρ. καὶ στρατηγὸς μὲν ἐν ὀλίγοις, προφήτης δὲ οἷος οὐκ ἄλλος. 329
πενθεῖ δὲ αὐτὸν ὁ λαὸς ἐφ' ἡμέρας τριάκοντα. 330

περιέχει ὁ τέταρτος οὗτος ὁ λόγος χρόνον ἐτῶν ὀκτὼ καὶ τριάκοντα.

## Φλαυίου Ἰωσήπου ἀρχαιολογίας λόγος ε'.

Ἰησοῦς δὲ πάντων ἤδη τῶν ἐπὶ Μωϋσῇ τέλος ἐχόντων καὶ τοῦ πένθους λελωφηκότος
πέμπει τε κατασκόπους εἰς Ἱεριχοῦντα καὶ στρατείαν τῷ πλήθει παρήγγειλεν, αὐτὸς δ' 2
ἐξήταζε τὸν στρατόν. ἀνακαλεσάμενος δὲ τοὺς τῆς Ῥουβηλίδος φυλῆς ἄρχοντας καὶ τοὺς 3
Γάδιδος καὶ τῆς Μανασσίτιδος προεστῶτας, ἐξ ἡμισείας γὰρ καὶ τῇδε τῇ φυλῇ τὴν Ἀμμο-
ρῖτιν κατοικεῖν ἐπετέτραπτο τῆς Χαναναίων γῆς ἕβδομον οὖσαν μέρος, ὑπεμίμνησκεν ἃ
ὑπέσχοντο Μωυσῇ, καὶ παρεκάλει παρέχειν ἑαυτοὺς προθύμους. τῶν δ' ἑπομένων ὁπλίταις 4
πεντακισμυρίοις ἀπὸ τῆς Ἀβέλης ἐπὶ τὸν Ἰορδάνην ἐξῄει. καὶ στρατοπεδεύσαντος εὐθὺς 5
οἱ κατάσκοποι παρῆσαν· ἐλθόντες γὰρ ἅπασαν τὴν πόλιν κατενόησαν τῶν Χαναναίων·
ὡς δὲ γενομένης ὀψίας ὑποχωροῦσιν εἴς τι καταγώγιον τοῦ τείχους πλησίον, μηνύονται τῷ 7 8
βασιλεῖ κατασκεψόμενοί τινες ἀπὸ τῶν Ἑβραίων παρεῖναι καὶ ὄντες ἐν τῷ τῆς Ῥαχάβης
καταγωγίῳ. ὃ δ' εὐθὺς ἐκέλευσεν ἄγειν συλλαβόντας. ὡς δ' ἔγνω τὴν ἔφοδον αὐτῶν ἡ 9
Ῥαχάβη, λίνου γὰρ ἀγκαλίδας ἐπὶ τοῦ τείχους ἔψυχε, τοὺς μὲν κατασκόπους εἰς ταύτας
ἀποκρύπτει, τοῖς δὲ ζητοῦσιν αὐτοὺς ἔλεγεν, ὡς τινὲς εἶεν ἀγνῶτες πρὶν δύναι τὸν ἥλιον παρ'
αὐτῇ δειπνήσαντες καὶ ἀπαλλαγέντες, οὓς ἀπόνως λάβοιεν διώξαντες. οἱ δὲ τῆς γυναικὸς 10
οὕτως αὐτοὺς ὑπελθούσης ἀπῆλθον οὐδ' ἐρευνήσαντες τὸ καταγώγιον. ὁρμήσαντες δὲ καθ'

---

4 καὶ ante τῆς om. Henn. — 11 αὐτοῖς] Henn. Zonaras αὐτοῦ Busb. — 11 αἰφνιδίος Busb. αἰφνιδίου Henn. αἰφνίδιον Iosephus. — 13 δι'] Henn. δ' Busb — 15 μακεδόνος Busb. — 17 αὐτοκράτορα Busb. Henn. — 23 ἄρχοντα Busb. — 24 τῆς] τὸν τῆς Henn. — προεστῶτα Busb. Henn. — 25 χαναίων Busb. — 32 ἔψυγε Busb.

Zonaras I p. 78 Bonn.

ταύτην λεγόντων καταφυγεῖν διὰ σωτηρίαν συγκαλεῖ τὸν ἀρχιερέα καὶ τὴν γερουσίαν καὶ
δημοσίους αὐτοὺς ἀποδείκνυσιν ἐπὶ τῷ μὴ παραβῆναι τὸν ὅρκον. τοῦ δὲ τῶν Ἱεροσολύμων
58 βασιλέως χαλεπαίνοντος ἐπὶ τῷ μετατάξασθαι πρὸς τὸν Ἰησοῦν τοὺς Γαβαωνίτας καὶ τοὺς
τῶν πλησίον ἐθνῶν παρακαλέσαντος βασιλεῖς συνάρασθαί οἱ κατ' αὐτῶν, οἱ Γαβαωνῖται
ἐπεκαλοῦντο σύμμαχον Ἰησοῦν. καὶ Ἰησοῦς σπεύσας ἐπὶ τὴν βοήθειαν καὶ δι' ἡμέρας καὶ
60 νυκτὸς ἀνύσας ὄρθριος προσβαίνουσι τοῖς πολεμίοις ἐμπίπτει καὶ τραπεῖσιν εἵπετο διώκων
διὰ χωρίου, ὃ Βηθωρὰ καλεῖται. ἔνθα καὶ τὴν τοῦ θεοῦ συνεργίαν ἔμαθον ἐπισημήναντος
βρονταῖς τὲ καὶ κεραυνῶν ἀφέσει καὶ χαλάζῃ μείζονι τῆς συνήθους· ἔτι γε μὴν καὶ τὴν
61 ἡμέραν αὐξηθῆναι πλέον, ὡς μὴ καταλαβοῦσα νὺξ ἐπίσχῃ τὴν τῶν Ἑβραίων ἐπιθυμίαν,
συνέπεσεν, ὥστε καὶ λαμβάνει τοὺς βασιλέας Ἰησοῦς ἔν τινι κρυπτομένους σπηλαίῳ κατὰ
Μακκηδὰ καὶ κολάζει πάντας. ὅτι δὲ τὸ μῆκος τῆς ἡμέρας ἐπέδωκε τότε, δηλοῦται διὰ
τῶν ἀνακειμένων ἐν τῷ ἱερῷ γραμμάτων. κατεστραμμένων δ' οὕτω τῶν περὶ τοὺς βασι-
62 λέας, οἳ τοῖς Γαβαωνίταις πολεμήσοντες ἐστράτευσαν, ἐπανήει πάλιν τῆς Χαναναίας ἐπὶ
τὴν ὀρεινὴν Ἰησοῦς καὶ πολὺν τῶν ἐν αὐτῇ φόνον ἐργασάμενος καὶ λείαν λαβὼν παρῆν
εἰς τὸ ἐν Γαλγάλοις στρατόπεδον. τοῦ δὲ περὶ Ἑβραίων λόγου πολλοῦ φοιτῶντος εἰς
63 ἅπαντας κατάπληξις εἶχε τοὺς περιοίκους· στρατεύουσι δ' ἐπ' αὐτοὺς οἱ περὶ Λίβανον
ὄντες Χαναναῖοι καὶ οἱ ἐν τοῖς πεδινοῖς Παλαιστηνοὺς προσλαβόντες. τοῦ δὲ στρατοῦ
64 παντὸς ὁπλιτικοῦ μὲν ἦσαν μυριάδες τριάκοντα, μύριοι δ' ἱππεῖς καὶ ἅρματα δισμύρια.
καταπλήττει δὲ τὸ πλῆθος τῶν πολεμίων αὐτόν τε τὸν Ἰησοῦν καὶ τοὺς Ἰσραηλίτας. τοῦ θεοῦ
65 δ' ὑποσχομένου νικήσειν τοὺς ἐχθροὺς ἐξώρμησεν ἐπὶ τοὺς πολεμίους, καὶ διὰ πέμπτης
66 ἡμέρας ἐπ' αὐτοὺς ἐλθὼν συνάπτει καὶ καρτερὰ μάχη γίνεται καὶ φόνος πίστεως κρείττων,
ὡς πᾶν τὸ στράτευμα τῶν ἐχθρῶν πλὴν ὀλίγων διαφθαρῆναι, καὶ οἱ βασιλεῖς πάντες
67 ἔπεσον, καὶ τοὺς ἵππους δ' αὐτῶν Ἰησοῦς ἀνῄρει καὶ τὰ ἅρματα ἐνεπίμπρα τοῦ θεοῦ
τοῦτο ἐντειλαμένου, τήν τε χώραν ἐπ' ἀδείας διεπορεύετο πολιορκίᾳ τὰς πόλεις αἱρῶν
καὶ πᾶν ὅ τι λάβοι φονεύων. ἔτος δὲ πέμπτον ἤδη παρεληλύθει καὶ Χαναναίων οὐκέτι
68 οὐδεὶς ὑπολέλειπτο, Ἰησοῦς δὲ εἰς τὴν ὀρεινὴν ἱστᾷ τὴν ἱερὰν σκηνὴν κατὰ Σιλοῦν πόλιν
ἕως οἰκοδομεῖν αὐτοῖς ναὸν γένηται. καὶ χωρήσας ἐντεῦθεν ἐπὶ Σικίμων σὺν τῷ λαῷ
69 βωμόν τὲ ἵστησιν ὅπου προεῖπε Μωυσῆς καὶ νείμας τὴν στρατιὰν ἐπὶ μὲν τῷ Γαριζὶν
ὄρει τὴν ἡμίσειαν ἵστησιν, ἐπὶ δὲ τῷ Ἰωβήλῳ τὴν ἡμίσειαν, ἐν ᾧ καὶ ὁ βωμὸς καὶ τὸ
70 Λευϊτικὸν καὶ τοὺς ἱερέας. θύσαντες καὶ ἀρὰς ποιησάμενοι καὶ ταύτας ἐπὶ τὸν βωμὸν
γεγραμμένας καταλιπόντες εἰς τὴν Σιλοῦν ἀνέζευξαν.
71 Ἰησοῦς δὲ ἤδη γηραιὸς ὢν καὶ τὰς τῶν Χαναναίων πόλεις ὁρῶν οὐκ εὐαλώτους, συνα-
73 γαγὼν τὸν λαὸν Σιλοῦν ἐκκλησίαν παρήγγειλε. καὶ συνελθόντες τῶν κατωρθωμένων
ἀνεμίμνησκε, βασιλεῖς τὲ τριάκοντα καὶ ἕνα κεκρατῆσθαι δηλῶν καὶ τὰς αὐτῶν στρατιὰς
74 διαφθαρείσας καὶ πόλεις ἑαλωκυίας. τὰς δὲ παραλειφθείσας ἔτι δι' ὀχυρότητα πολυχρονίου
δεῖσθαι πολιορκίας. ἠξίου τοίνυν τοὺς ἐκ τῆς περαίας τοῦ Ἰορδάνου συνεξορμήσαντας
αὐτοῖς καὶ τῶν κινδύνων συναραμένους συγγενεῖς ἀπολύειν ἤδη πρὸς τὰ οἰκεῖα χάριν
75 αὐτοῖς ὧν συνέκαμον ὁμολογοῦντας, ἕνα τὲ κατὰ φυλὴν πέμπειν, οἳ τὴν γῆν ἐκμετρησόμενοι

4 πλησίων Busb. — 4 παρακαλέσαντας Busb. Henn. — 4 βασιλεῖ Busb. Henn. — 18 ὁπλιτικοῦ, τικοῦ in rasura angustius scriptum Busb. ὁπλιτοῦ Henn. ὁπλιτῶν Zonaras. — 29 Ἰωβήλῳ] βήλω Henn. — 33 εἰς τὴν Σιλοῦν Iosephus.



Zonaras I p. 80 Bonn.

πιστῶς δηλώσουσιν ἡμῖν αὐτῆς τὸ μέγεθος τῆς τε εὐδαίμονος γῆς καὶ τῆς ἧσσον ἀγαθῆς. 76
ἴδοι γὰρ ἄν τις ἐν τῇ Χαναναίων γῇ πεδία μεγάλα καὶ καρπὸν φέρειν ἱκανώτατα καὶ πρὸς 77
ἑτέραν γῆν εὐδαίμονα κριθησόμενα, τοῖς δ' Ἱεριχουντίων χωρίοις παραβαλλόμενα καὶ τοῖς
Ἱεροσολυμιτῶν τὸ μηδὲν ἀναφανησόμενα· καίτοι παντελῶς ὀλίγη τούτων ἡ γῆ, καὶ ταύτης 78
ἡ πολλὴ ὀρεινή, ἀλλ' ὑπερβολὴν εἰς καρπῶν ἐκτροφήν τε καὶ κάλλος οὐκ ἀπολέλοιπεν ἑτέραις.
καὶ διὰ τοῦτο τιμητοὺς μᾶλλον ἢ μετρητοὺς τοὺς κλήρους εἶναι δεῖν ὑπέλαβε, πολλάκις ἑνὸς
πλέθρου καὶ χιλίων ἀνταξίου δοκοῦντος. μετὰ δὲ ταῦτα συναγαγὼν εἰς ἐκκλησίαν τὸν 93
στρατὸν τοῖς ὑπὲρ τὸν Ἰόρδανον κατὰ τὴν Ἀμμοραίων ἱδρυμένοις, συνεστράτευον δ' ὁπλῖται
πεντακισμύριοι, ἔλεξε τάδε· „ἐπεὶ προθύμους ἑαυτοὺς ἡμῖν εἰς ἅπαντα δεδώκατε καὶ οὐκ 94 97
ἔστιν οὐδὲν ἐφ' ᾧ μὴ χάριν ὑμῖν οἴδαμεν, δεῖ τυχεῖν ὑμᾶς ἀναπαύσεως. χαίροντας οὖν
νῦν ἐπὶ τὰς κληρουχίας ὑμᾶς ἀπολύομεν“. ταῦτα εἰπὼν αὐτὸς μὲν ὑπέμεινε, προέπεμπε 99
δὲ αὐτοὺς ὁ λαὸς οὐκ ἀδακρυτί. διαβάντες δὲ τὸν Ἰορδάνην βωμὸν ὑπὲρ τῆς ὄχθης 100
ἱδρύονται, μνημεῖον τοῖς ἔπειτα γενησομένοις τῆς πρὸς τοὺς πέραν κατῳκημένους οἰκειότητος.
ἀκούσαντες δὲ οἱ πέραν βωμὸν ἱδρύσθαι τοὺς ἀπολυθέντας ἐπὶ νεωτερισμῷ καὶ ξενικῶν 101
εἰσαγωγῇ θεῶν, ἐν ὅπλοις ἦσαν, ὡς τοὺς τὰ πάτρια ἔθη παραβάντας κολάσοντες. ἐπέσχε 103
δ' αὐτοὺς Ἰησοῦς καὶ ὁ ἀρχιερεὺς καὶ ἡ γερουσία. πέμπουσιν οὖν ἐπ' αὐτοὺς Φινεέσην καὶ 104
δέκα τῶν ἐντίμων. ὡς δὲ ἀφικομένων πρὸς αὐτοὺς ἐκκλησία συνελέγη, στὰς Φινεέσης 105
ἁμαρτοῦν αὐτοῖς ἔλεγε λήθην τοῦ θεοῦ λαβόντας καὶ τὴν σκηνὴν καὶ τὴν κιβωτὸν καταλι- 107
πόντας καὶ βωμὸν τὸν πάτριον, ξενικοὺς δὲ θεοὺς ἐπιφέροντας. ἀλλ' οὐδὲν ἀδικεῖν δόξετε 108
μετανοήσαντες· ἂν δ' ἐπιμένητε τοῖς ἡμαρτημένοις, οὐ παραιτησόμεθα τὸν ὑπὲρ τῶν
νόμων πόνον, ἀλλὰ περαιωσάμενοι τὸν Ἰορδάνην τούτοις βοηθήσομεν, μηδὲν ὑμᾶς Χανα-
ναίων διαφέρειν οἰόμενοι. ἀλλ' εὖ ποιήσετε σωφρονήσαντες, καὶ παρακαλοῦμεν ὑμᾶς πρὸς 110
παίδων καὶ γυναικῶν μὴ παρασχεῖν ἡμῖν ἀνάγκην ἀμύνασθαι“. ταῦτα Φινεέσου διαλεχ- 111
θέντος οἱ προεστῶτες τῆς ἐκκλησίας μὴ κατὰ νεωτερισμὸν ἀναστῆσαι τὸν βωμὸν ἔλεγον,
ἀλλὰ θεόν τὲ ἕνα γινώσκειν τὸν Ἑβραίοις ἅπασι κοινὸν καὶ τὸν πρὸ τῆς σκηνῆς βωμόν. 112
τὸν μέντοι γε νῦν ἀνασταθέντα μὴ κατὰ θρησκείαν ἱδρύσθαι, ὅπως δ' εἴη τεκμήριον εἰς
τὸν αἰῶνα τῆς πρὸς ὑμᾶς οἰκειότητος, ἀλλ' οὐ παραβάσεως ἀρχήν, ὡς ὑπονοεῖτε. μάρτυς 113
δ' ἡμῖν ἐπὶ τούτοις γένοιτο ὁ θεὸς ἀξιόχρεως“. ταῦτα εἰπόντας ἐπαινέσας ὁ Φινεέσης 114
παρῆν πρὸς Ἰησοῦν καὶ τὰ παρ' αὐτῶν ἀνήγγειλε τῷ λαῷ. ὁ δὲ χαριστηρίους ὑπὲρ τούτων
θυσίας ἐπετέλει. καὶ διαλύσας τὸ πλῆθος εἰς τὰς ἰδίας κληρουχίας Ἰησοῦς αὐτὸς ἐν
Σικίμοις διῆγεν. ἔτει δ' ὕστερον εἰκοστῷ ὑπέργηρως ὢν μεταπεμψάμενος τοὺς ἐν ἀξιώματι 115
μάλιστα τῶν πόλεων καὶ τὰς ἀρχὰς καὶ τὴν γερουσίαν καὶ τοῦ πλήθους ὅσον ἦν ἐφικτόν,
τὰς εὐεργεσίας τοῦ θεοῦ πάσας ἀνεμίμνησκεν αὐτούς, φυλάττειν τὲ τὴν τοῦ θεοῦ προαί- 116
ρεσιν ἔχουσαν οὕτως πρὸς αὐτοὺς παρεκάλει· αὐτῷ γὰρ καλῶς ἔχειν ἀπιέναι μέλλοντι τοῦ
ζῆν παραίνεσιν αὐτοῖς τοιαύτην καταλιπεῖν, κἀκείνοις διὰ μνήμης ποιεῖσθαι τὴν παρακέ-
λευσιν. καὶ ὁ μὲν ταῦτα διαλεχθεὶς τελευτᾷ βιοὺς ἔτη ρ' καὶ δέκα, ὧν σὺν Μωυσῇ 117
διέτριψε τεσσαράκοντα, στρατηγεῖ δὲ μετὰ τὴν ἐκείνου τελευτὴν πέντε καὶ κ'. θάπτεται 119
δὲ ἐν πόλει Θαμνᾷ τῆς Ἐφραίμου φυλῆς. θνήσκει δὲ κατ' αὐτὸν καιρὸν καὶ Ἐλεάζαρος ὁ

1 αὐτοῖς Busb. — 11 νῦν om. Iosephus. — 13 οἰκειοτάτος Busb. — 16 ἐπ'] πρὸς Josephus. — 22 οἰόμενοι] ὑπολαμβάνοντες Iosephus. — 26 μὴ] οὐ Iosephus. — 31 σικίμη Henn. — 33 πάσας τοῦ θεοῦ Henn. -- 34 ἔχει Busb.

Zonaras I p. 81 Bonn.

ἀρχιερεὺς Φινεέσῃ τῷ παιδὶ τὴν ἀρχιερωσύνην καταλιπών, καὶ μνημεῖον αὐτῷ ἐν Γαβαθᾷ
πόλει τυγχάνει.
Μετὰ δὲ τὴν τούτων τελευτὴν Φινεέσης προφητεύει κατὰ βούλησιν τοῦ θεοῦ ἐπ᾿
120 ἐξωλείᾳ τοῦ Χαναναίων γένους τῇ Ἰουδαίᾳ φυλῇ παρασχεῖν τὴν ἡγεμονίαν· καὶ γὰρ τῷ
λαῷ διὰ σπουδῆς ἦν μαθεῖν, τί καὶ τῷ θεῷ δοκεῖ. καὶ προσλαβοῦσα τὴν Συμεωνίδα, ἐφ᾿
ᾧτε ἐξαιρεθέντων τῶν ἐκείνης ὑποτελῶν καὶ τοῦ ἐν αὐτῇ τῇ κληρουχίᾳ τοῦτο ποιοῦμεν.
Χαναναῖοι δὲ ἐλπίσαντες κρατήσειν τῶν Ἰσραηλιτῶν θανόντος Ἰησοῦ στρατῷ μεγάλῳ κατὰ
121 Ζεβέκην αὐτοὺς ὑπέμενον τῷ βασιλεῖ τῶν Ζεβεκηνῶν Ἀδωνιζεβέκῳ τὴν ἡγεμονίαν ἐπι-
τρέψαντες· δηλοῖ δὲ τὸ ὄνομα Ζεβεκηνῶν κύριος· ἀδωνὶ γὰρ ἑβραϊστὶ κύριος λέγεται.
συμμίξασαι δ᾿ αὐτοῖς αἱ εἰρημέναι δύο φυλαὶ κτείνουσι μὲν ὑπὲρ τρισμυρίους, τρεψάμενοι δὲ
122 τοὺς λοιποὺς καὶ διώκοντες αἱροῦσι τὸν Ἀδωνιζέβεκον, ὃς ἀκρωτηριασθεὶς ὑπ᾿ αὐτῶν φησίν, ὡς
123 οὐκ ἄρα λήσειν τὸν θεὸν ἔμελλον ταῦτα πράξας κατὰ δυοῖν καὶ ἑβδομήκοντα βασιλέων“.
καὶ διεξῄεσαν αἱροῦντες τὰς πόλεις, πλείστας τὲ λαβόντες ἐπολιόρκουν Ἱεροσόλυμα· καὶ
124 τὴν μὲν κάτω λαβόντες σὺν χρόνῳ τοὺς ἐνοικοῦντας ἀπέκτεινον, χαλεπὴ δ᾿ ἦν ἡ καθύ-
περθεν αἱρεθῆναι τειχῶν ὀχυρότητι καὶ φύσει τοῦ πεδίου. ἑλόντες δὲ τὴν Χεβρῶνα
125 κτείνουσι πάντας· ὑπελείπετο δὲ τὸ γιγάντων ἔτι γένος, οἳ διὰ σωμάτων μεγέθη καὶ μορφὰς
οὐδὲν τοῖς ἄλλοις παραπλησίας παράδοξον ἦσαν θέαμα καὶ δεινὸν ἄκουσμα. δείκνυται δὲ
126 καὶ νῦν τούτων ὀστᾶ. τὴν δὲ Χεβρῶνα Χαλέβῳ δωρεὰν ἔδοσαν κατὰ Μωυσέος ἐντολάς.
127 οὗτος δ᾿ ἦν τῶν κατασκόπων εἷς ὧν ἔπεμψε Μωυσῆς εἰς τὴν Χαναναίαν. διδόασι δὲ καὶ
τοῖς Ἰοθόρου τοῦ Μαδιηνίτου ἀπογόνοις, Μωσέος γὰρ ἦν γαμβρός, γῆν ἵνα νέμοιντο· τὴν
128 γὰρ πατρίδα καταλιπόντες συνῆσαν αὐτοῖς ἐπὶ τῆς ἐρήμου. ἡ δὲ Ἰούδα φυλὴ καὶ Συμεωνὶς
τὰς κατὰ τὴν ὀρεινὴν Χαναναίας πόλεις εἷλον, οὐ μὴν καὶ τὰς ἐν τῷ πεδίῳ καὶ πρὸς
θάλασσαν Ἀσκάλωνά τε καὶ Ἄζωτον καὶ Γάζαν καὶ Ἀκκαρῶνα. μεγάλως δ᾿ αἱ φυλαὶ αἵδε
129 εὐδαιμονήσασαι ἀνεχώρησαν εἰς τὰς ἑαυτῶν πόλεις καὶ κατατίθενται τὰ ὅπλα. Βενιαμῖται
δέ, τούτων γὰρ ἦν Ἱεροσόλυμα, τοῖς οἰκήτορσιν αὐτῶν συνεχώρησαν φόρους τελεῖν· τὸ δ᾿
130 αὐτὸ καὶ αἱ λοιπαὶ ἐποίουν φυλαί. ἡ δὲ Ἐφραίμου πολιορκοῦσα Βέθηλα τέλος οὐδὲν εὕρισκε
131 τῆς πολιορκίας, ὅμως μέντοι προσεκαρτέρουν. ἔπειτα συλλαβόντες τινὰ τῶν ἐν τῇ πόλει
πίστεις ἔδοσαν αὐτῷ παραδιδόντι τὴν πόλιν σώσειν αὐτὸν καὶ τοὺς συγγενεῖς. καὶ ὁ μὲν
οὕτως προδοὺς σώζεται μετὰ τῶν οἰκείων, οἱ δ᾿ ἀποκτείναντες τοὺς ἐνοικοῦντας εἶχον τὴν
132 πόλιν. τὸ δ᾿ ἐντεῦθεν πρὸς μὲν τοὺς πολέμους μαλακῶς εἶχον οἱ Ἰσραηλῖται, τῆς δὲ γῆς
ἐπεμελοῦντο. τοῦ δὲ πλούτου σφίσιν ἐπιδιδόντος ὑπὸ τρυφῆς τοῦ κόσμου ὠλιγώρουν καὶ
133 τῶν νόμων οὐκέτι ἦσαν ἀκριβεῖς ἀκροαταί. τὸ δὲ θεῖον ἐπὶ τούτοις παροξυνθὲν αἰτιᾶται
μὲν αὐτούς, ὅτι φείσαιντο παρὰ τὴν αὐτοῦ γνώμην τῶν Χαναναίων, ἔπειτα προλέγει ὡς
134 ἐκεῖνοι χρήσαιντο πολλῇ κατ᾿ αὐτῶν ὠμότητι καιροῦ λαβόμενοι. οἱ δὲ καὶ πρὸς τὰ παρὰ
135 τοῦ θεοῦ δυσθύμως εἶχον καὶ πρὸς τὸ πονεῖν ἀηδῶς ἤδη ὑπὸ τρυφῆς ἐκλελυμένοι, ὅθεν
ἡ ἀριστοκρατία διέφθαρτο, καὶ ἡ γερουσία οὐκ ἀπεδείκνυτο οὐδ᾿ ἄλλη ἀρχὴ οὐδὲ μία. καὶ
136 διὰ ταῦτα στάσις αὐτοὺς καταλαμβάνει δεινὴ ἐκ τοιαύτης αἰτίας. Λευίτης ἀνὴρ τῆς

8 Ἀδωνιζεβέκῳ] Henn. ἀδωνιβεζέκω Busb. — 9 δηλοῖ] σημαίνει Iosephus. — 9 βεζεκηνῶν Busb. — 10 δ᾿ αὐτοῖς om. Busb. — 11 ἀδωνιβέζεκον Busb. — 15 πεδίου] χωρίου Iosephus. — 23 ἀσκάλωνος man. 1 Busb. ἀσκάλω Henn. — 23 ἄζωτος man. 1 Busb. — 24 τὰ om. Henn. — 37 συλλαβὼν τινὰ Busb. — 31 σφίσιν] αὐτοῖς Iosephus. — 35 πονεῖν] πολεμεῖν Iosephus.



Zonaras I p. 82 Bonn.

Ἐφραίμου κληρουχίας ὢν καὶ ἐν ἐκείνῃ κατοικῶν γύναιον ἄγεται ἀπὸ Βηθλέμων, τὸ δὲ
χωρίον τῆς Ἰούδα φυλῆς, ὃ διὰ λύπην καταλιπὸν τὸν ἄνδρα πρὸς τοὺς γονεῖς παραγίνεται. 137
χαλεπῶς δὲ φέρων ἐπὶ τῷ ἔρωτι ὁ ἀνὴρ ἧκε πρὸς τοὺς πενθεροὺς καὶ καταλάττεται πρὸς
τὴν γυναῖκα· καὶ δόξαν οἴκαδε ἀπιέναι ἡ μὲν γυνὴ ὄνῳ ὠχεῖτο, αὐτὸς δὲ καὶ θεράπων 138
ἀπῄεσαν πεζῇ. ἤδη δ᾿ ὀψίας οὔσης παρῆσαν εἰς Γαβᾶν φυλῆς τῆς Βενιαμίτιδος καὶ ἐπι- 140 141
ξενοῦνται παρὰ πρεσβύτῃ τινὶ τῆς μὲν Ἐφραιμίτιδος ὄντι φυλῆς, ἐν δὲ Γαβᾷ διαιτωμένῳ.
νεανίαι δέ τινες τῶν Γαβαηνῶν ἐπὶ τῆς ἀγορᾶς τὸ γύναιον θεασάμενοι ἧκον ἐπὶ τὰς θύρας 143
τοῦ πρεσβύτου. τοῦ δὲ παρακαλοῦντος ἀπαλλάττεσθαι ἀποκτείνειν ἠπείλουν. ὡς δὲ 144 146
οὐκ ἐνεδίδοσαν, τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει, ἵνα τὴν ἐπιθυμίαν πληρώσειαν
καὶ μηδὲν ἀδικήσαιεν τοὺς ξένους, οὓς ὑπεδέξατο. καὶ ὁ μὲν ἱκέτευεν, οἱ δὲ ἁρπασά-
μενοι ἀπήγαγον πρὸς ἑαυτοὺς τὴν γυναῖκα καὶ δι᾿ ὅλης τῆς νυκτὸς ἐμπλησθέντες
τῆς ὕβρεως ἀπέλυσαν ἀρχομένης ἡμέρας. ἡ δὲ τεταλαιπωρημένη τοῖς συμβεβηκόσι 147
καὶ ὑπὸ λύπης ὧν ἐπεπόνθει καὶ τῆς πρὸς τὸν ἄνδρα αἰσχύνης καταπεσοῦσα τὴν
ψυχὴν ἀφίησιν. ὡς δὲ τελευτήσασαν ἔμαθεν ὁ ἀνὴρ ἐπιθέμενος τῷ κτήνει νεκρὰν 149
κομίζει πρὸς ἑαυτόν, καὶ διελὼν αὐτὴν κατὰ μέρος εἰς μέρη δώδεκα διέπεμψεν εἰς ἑκάστην
φυλήν, ἐντειλάμενος τοῖς κομίζουσι λέγειν τοὺς αἰτίους τῇ γυναικὶ τῆς τελευτῆς καὶ τὴν βίαν
ταῖς φυλαῖς. οἱ δ᾿ ὑπό τε τῆς ὄψεως καὶ τῆς ἀκοῆς τοῦ πάθους εἰς τὸ Σιλοῦν συλλεγέντες 150
πρὸ τῆς σκηνῆς εἰς ὅπλα χωρεῖν ὥρμηντο, ἐπέσχε δὲ τὴν ὁρμὴν ἡ γερουσία. πέμπουσιν 151 153
οὖν πρὸς τοὺς Γαβαηνοὺς κατηγοροῦντες τῶν νεανίσκων καὶ πρὸς τιμωρίαν τοὺς παρανο-
μήσαντας ἐξαιτούμενοι. οἱ δὲ Γαβαηνοὶ οὔτε τοὺς νεανίσκους ἐξέδοσαν καὶ δεινὸν 154
ἀλλοτρίοις ὑπακούειν προστάγμασιν ἥγηντο. ὡς δὲ ταῦτα ἠγγέλθη τοῖς Ἰσραηλίταις, ὅρκους 155
ποιοῦνται μηδένα σφῶν ἀνδρὶ Βενιαμίτῃ δώσειν πρὸς γάμον θυγατέρα στρατεύσειν τὲ ἐπ᾿
αὐτούς, παραχρῆμα τὲ ἐξῆγον ἐπ᾿ αὐτοὺς μυριάδας τεσσαράκοντα ὁπλιτῶν. μάχης οὖν 156 157
πρὸς τῇ Γαβᾷ γενομένης τρέπουσι τοὺς Ἰσραηλίτας οἱ Βενιαμῖται ἄνδρες τὲ πίπτουσιν ἐξ
αὐτῶν εἰς δισμυρίους καὶ δισχιλίους. καὶ τῇ ἐπιούσῃ πάλιν συμβαλόντων οἱ Βενιαμῖται 158
κρατοῦσι. παραγενόμενοι οὖν εἰς Βέθηλα πόλιν καὶ νηστεύσαντες ἱκέτευον τὸν θεὸν διὰ 159
Φινεέσου τοῦ ἀρχιερέως παύσασθαι τῆς πρὸς αὐτοὺς ὀργῆς. ὁ δὲ θεὸς ἐπαγγέλλεται νίκην
τοῦ Φινεέσου προφητεύσαντος. ποιήσαντες οὖν ἐνέδραν συνέβαλον τοῖς Βενιαμίταις, 160
καὶ τῶν Ἑβραίων ὑποχωρούντων ἠρέμα ἐδίωκον οἱ Βενιαμῖται. ὡς δὲ πολὺ τῆς πόλεως 161
ἀπέσχον, ἐπαύσαντο μὲν φεύγοντες οἱ Ἑβραῖοι, ἐπιστραφέντες δὲ ἵστανται καὶ ταῖς ἐνέ-
δραις αἴρουσι τὸ σημεῖον. οἱ δ᾿ ἐπῄεσαν τοῖς πολεμίοις, καὶ εἴς τι κοῖλον συνελαθέντες 162
χωρίον περιστάντες κατηκόντισαν, ὥστε πάντας πλὴν ἑξακοσίων διαφθαρῆναι φυγόντων
ἐπὶ τὰ πλησίον ὄρη. οἱ δ᾿ ἄλλοι πάντες περὶ δισμυρίους ὄντες καὶ πεντακισχιλίους ἀπέ- 163
θανον. οἱ δὲ Ἰσραηλῖται τήν τε Γαβὰν ἐμπιπρᾶσι καὶ τὰς γυναῖκας καὶ τῶν ἀρρένων 164
τοὺς μὴ ἐν ἀκμῇ διεχρήσαντο, τάς τε ἄλλας τῶν Βενιαμιτῶν πόλεις ταὐτὰ δρῶσι, καὶ
Ἰάβεισον δὲ τῆς Γαλαδίτιδος οὖσαν, ὅτι μὴ συμμαχήσειεν αὐτοῖς, πέμψαντες ἐκέλευσαν
ἀνελεῖν. καὶ φονεύουσι τὸ μάχιμον τῆς πόλεως οἱ πεμφθέντες σὺν τέκνοις καὶ γυναιξὶ 165
πλὴν τετρακοσίων παρθένων. μετάνοια δ᾿ αὐτοὺς λαμβάνει τῆς τῶν Βενιαμιτῶν συμφορᾶς 166
καὶ τοὺς διαφυγόντας αὐτῶν ἑξακοσίους διὰ πρεσβευτῶν ἐκάλουν. οἱ δὲ κατῄεσαν τοῖς 168

5 καὶ ἐπιξενοῦνται .... 6 διαιτωμένω i. rasura augustius scripta Busb. — 7 Γαβαηνῶν] Henn. βαηνῶν Busb. — 31 συνελαθέντας Iosephus. — 35 μὴ] Henn. μὲν Busb. — 36 γαλααδίτιδος Henn. γαλατίδος Busb.

Zonaras I p. 83 Bonn.

προκαλουμένοις πειθόμενοι. οἱ δὲ Ἰσραηλῖται γυναῖκας αὐτοῖς τὰς υ΄ ἔδωκαν παρθένους
τὰς Ἰαβειτίδας, περὶ δὲ τῶν διακοσίων ἐσκόπουν, ὅπως κἀκεῖνοι γυναικῶν εὐπορήσωσι.
169 γενομένων δ' αὐτοῖς ὅρκων, ὡς εἴρηται, οἱ μὲν ὀλιγωρεῖν συνεβούλευον τῶν ὅρκων ὡς ὑπ'
170 ὀργῆς ὀμόσαντες. τῆς δὲ γερουσίας πρὸς τὸ τῆς ἐπιορκίας ὄνομα σχετλιασάσης, ἔφη τις
γυναικῶν εὐπορίαν ἔχειν τούτοις εἰπεῖν καὶ τηρήσειν τὸν ὅρκον. ἐρομένων δὲ τὴν ἐπίνοιαν,
„τρὶς τοῦ ἔτους εἰς Σιλὼ συνιοῦσιν ἕπονται κατὰ πανήγυριν αἱ γυναῖκες καὶ αἱ θυγατέρες.
171 τούτων κατὰ ἁρπαγὴν ἐφείσθω γαμεῖν Βενιαμίταις ἃς ἂν δυνηθεῖεν, ἡμῶν οὔτε προτρε-
172 πομένων οὔτε κωλυόντων“. οἱ μὲν οὖν ἐψηφίζοντο τὸν δι' ἁρπαγῆς γάμον τοῖς Βενια-
173 174 μίταις. οἱ δὲ τὰ ψηφισθέντα εἰς ἔργον ἤγαγον. καὶ οὗτος μὲν ὁ πόλεμος οὕτως παύεται.
175 176 ὅμοια δὲ τούτοις παθεῖν καὶ τὴν Δανιανὴν συνέβη φυλὴν ἐξ αἰτίας τοιαύτης· τῶν Ἰσραη-
λιτῶν ἐκλελοιπότων ἤδη τὴν ἐν πολέμῳ ἄσκησιν Χαναναῖοι καταφρονήσαντες αὐτῶν ἐπ'
177 ἀδείας οἰκεῖν τὰς πόλεις ἠξίουν. καὶ τῆς Ἰούδα φυλῆς τὴν Ἀσκάλωνα καὶ τὴν Ἀκαρῶ παρε-
178 σπάσαντο ἄλλας τε πολλὰς τῶν ἐν τῷ πεδίῳ, καὶ Δανίτας ἠνάγκασαν εἰς τὸ ὄρος φυγεῖν. οἱ
δὲ οὔτε πολεμεῖν ὄντες ἱκανοὶ γῆν τε οὐκ ἔχοντες ἀρκοῦσαν πέμπουσιν ἄνδρας εἰς τὴν μεσό-
γειον κατοψομένους γῆν, εἰς ἣν μετοικήσαιντο. οἳ δ' οὐ πόρρω τοῦ Λιβάνου κατὰ τὸ μέγα
πεδίον κατασκεψάμενοι γῆν ἀγαθὴν καὶ πάμφορον σημαίνουσι τοῖς αὐτῶν· οἳ δ' ὁρμηθέντες
αὐτόθι κτίζουσι πόλιν Δανά, ἐπώνυμον τῆς φυλῆς αὐτῶν, τῷ δὲ φυλάρχῳ ὁμώνυμον.
179 180 Τοῖς δ' Ἰσραηλίταις προύβαινε τὰ κακά· ὀργίζεται γὰρ αὐτοῖς ὁ θεὸς ἀναπληθεῖσι
τῶν παρὰ τοῖς Χαναναίοις ἐθῶν καὶ τοῦ τῆς πολιτείας κόσμου μετατεθεῖσι. στρατεύ-
181 σαντος οὖν Χουσάρθου τοῦ τῶν Ἀσσυρίων βασιλέως κατὰ κράτος ᾑρέθησαν, φόρους τε
182 βαρεῖς ἐπιταγέντες ἐτέλουν καὶ ὕβρεις παντοίας ὑπέμενον ἕως ἐτῶν η΄, μεθ' ἃ Κενέαζός
183 τις τῆς Ἰούδα φυλῆς δραστήριος ἀνήρ, χρησθὲν αὐτῷ πρῶτον μὲν σὺν ὀλίγοις τὴν παρ' αὐτοῖς
φρουρὰν τῶν Ἀσσυρίων διαφθείρει, προσγενομένων δ' αὐτῷ πλειόνων μάχῃ τοὺς Ἀσσυρίους
184 ἀπωσάμενοι περαιοῦσθαι τὸν Εὐφράτην ἐβιάζοντο. καὶ ὑπὲρ τούτων λαμβάνει παρὰ τοῦ
186 πλήθους ἀρχήν, ὥστε κρίνειν τὸν λαόν. ἄρξας ἐπ' ἔτη μ΄ καταστρέφει τὸν βίον. ἔτι γοῦν
μᾶλλον ἐκακοῦντο οἱ Ἰσραηλῖται δι' ἀναρχίαν καὶ τοῦ θείου περιφρόνησιν, ὡς καὶ τὸν βασιλέα
187 τῶν Μωαβιτῶν Αἰγλῶνα μάχαις αὐτῶν κρατήσαντα φόρους αὐτοῖς ἐπιτάξαι. καθιδρύσας δ'
αὐτῷ ἐν Ἱεριχοῦντι βασιλείαν οὐδὲν κακώσεως παρέλιπεν ὀκτωκαίδεκα ἔτη. λαβὼν δ' οἶκτον
188 αὐτῶν ὁ θεὸς ἠλευθέρωσεν αὐτοὺς τούτῳ τῷ τρόπῳ. νεανίας Βενιαμίτης Ἰούδης τοὔνομα
189 τολμητίας καὶ δυνατώτατος τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων οἰκῶν ἐν Ἱεριχοῦντι συνή-
190 θης γίνεται τῷ Αἰγλῶνι δωρεαῖς αὐτὸν θεραπεύων καὶ ὑπερευχόμενος. καί ποτε σὺν
δυσὶν οἰκέταις δῶρα τῷ βασιλεῖ φέρων ξιφίδιον κρύφα τῷ δεξιῷ σκέλει περιδησάμενος
εἰσῄει πρὸς αὐτόν· ὥρα δ' ἦν θέρους καὶ τῆς ἡμέρας ἤδη μεσούσης ἀνεῖντο αἱ φυλακαί·
191 192 δοὺς οὖν τὰ δῶρα τῷ Αἰγλῶνι ὁ νεανίσκος πρὸς ὁμιλίαν ἐτράπετο. ἀνίστησι δὲ τοῦ
193 θρόνου αὐτὸν ὄναρ εἰπὼν ἔχειν αὐτῷ δηλῶσαι. καὶ ὁ μὲν ἀνέστη τοῦ θρόνου, πλήξας δ'
αὐτὸν ὁ Ἰούδης εἰς τὴν καρδίαν καὶ τὸ ξίφος καταλιπὼν ᾤχετο προσκλείσας τὴν θύραν.
194 ὁ δὲ Ἰούδης τοῖς Ἱεριχουντίοις κρυπτῶς ἀποσημαίνων παρεκάλει τῆς ἐλευθερίας ἀντιλαμ-
195 βάνεσθαι· οἱ δὲ αὐτοί τε εἰς τὰ ὅπλα ᾔεσαν καὶ διέπεμπον εἰς τὴν χώραν. οἱ δὲ περὶ

12 ἀσκάλῳ Henn. — 15 μετοικήσαιντο] μερικήσαιντο man. 1 Busb. — 24 ἐφράτην Busb. Henn. — 24 λαμβάνειν Busb. Henn. — 31 ὑπερευχόμενος] ὑπερχόμενος Iosephus. — 36 ᾤχετο] ἔξεισι Iosephus.



Zonaras I p. 85 Bonn.

τὸν Αἰγλῶνα νεκρὸν αὐτὸν εὑρόντες εἰς φυγὴν τρέπονται τῶν Ἰσραηλιτῶν αὐτοῖς ἐπελθόντων 196
ὡς ἐπὶ τὴν Μωαβῖτιν σωθησόμενοι, διωκόμενοι δὲ ἀναιροῦνται διαφυγόντος μηδενός. καὶ 197
οἱ μὲν Ἑβραῖοι τῆς ὑπὸ Μωαβίτου δουλείας ἀπηλλάγησαν, Ἰούδης δὲ τῇ τοῦ πλήθους
ἡγεμονίᾳ τιμηθεὶς τελευτᾷ τὴν ἀρχὴν ἐπὶ ἔτεσιν ὀγδοήκοντα κατασχών. καὶ μετὰ τοῦτον
ἄρξας Σανάγαρος ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει κατέστρεψε τὸν βίον. Ἰσραηλῖται δὲ πάλιν 198
μήτε τὸν θεὸν σέβοντες μήθ' ὑπακούοντες τῶν νόμων, ὑπὸ Ἀβίτου τοῦ Χαναναίων βασι-
λέως καταδουλοῦνται. Σισάρης γὰρ τῆς τοῦ Ἀβίτου δυνάμεως στρατηγῶν δεινῶς τοὺς 199
Ἰσραηλίτας ἐκάκωσε καὶ φόροις ὑπέβαλεν. εἴκοσι μὲν οὖν ἔτη ταῦτα πάσχοντες ἤνυσαν, 200
Δεβῶραν δέ τινα προφῆτιν, μέλισσαν δὲ σημαίνει τὸ ὄνομα, ἱκέτευον δεηθῆναι τοῦ θεοῦ 201
λαβεῖν οἶκτον αὐτῶν. καὶ ὁ θεὸς ἐπένευσε σωτηρίαν αὐτοῖς καὶ στρατηγὸν αἱρεῖται Βάρακον
τῆς Νεφθαλίδος ὄντα φυλῆς· βάρακος δ' ἐστὶν ἀστραπὴ κατὰ τὴν Ἑβραίων γλῶσσαν.
μεταπεμψαμένη δὲ ἡ Δεβῶρα τὸν Βάρακον ἐκέλευεν χωρεῖν ἐπὶ τοὺς πολεμίους μετὰ 202
νέων μυρίων τοῦ θεοῦ ἐπιτρέποντος. Βαράκου δ' ἀναινομένου μὴ κἀκείνης συστρατηγούσης 203
οὐ παρῃτήσατο ἐκείνη. καὶ συναθροίσαντες τοὺς μυρίους ἐστρατοπεδεύσαντο πρὸς
Ἰταβυρίῳ ὄρει· ἀπήντα δὲ καὶ ὁ Σισάρης. τοὺς δὲ Ἰσραηλίτας καὶ τὸν Βάρακον πτήξαντας 204
ἡ Δεβῶρα κατεῖχε καὶ τὴν συμβολὴν ποιεῖσθαι κατ' ἐκείνην ἐθάρρυνε τὴν ἡμέραν· νικήσειν
γὰρ τοῦ θεοῦ διδόντος ἐπηγγέλετο. συνῄεσαν οὖν καὶ ὄμβρος ἐπιγίνεται μέγας καὶ χάλαζα, 205
τόν τε ὑετὸν κατὰ πρόσωπον ἤλαυνε τῶν Χαναναίων ἄνεμος ταῖς ὄψεσιν αὐτῶν ἐπισκοτῶν,
ὡς τὰς τοξείας ἀχρήστους αὐτοῖς εἶναι καὶ τὰς σφενδόνας. τοὺς δὲ Ἰσραηλίτας ἧττον 206
ἔβλαπτε κατόπιν γινόμενος ὁ χειμών. οἱ μὲν οὖν ὑπὸ τῶν Ἰσραηλιτῶν, οἳ δ' ὑπὸ τῆς
οἰκείας ἵππου ἔπεσον, Σισάρης δὲ τὴν τροπὴν ἰδών, φυγὼν ἀφικνεῖται παρά τινι τῶν 207
Κενελίδων γυναικὶ Ἰάλῃ ὄνομα, ἣ κρύψαι ἀξιώσαντα δέχεται καὶ ποτὸν δίδωσι γάλα. ὁ δὲ 208
πιὼν εἰς ὕπνον τρέπεται. ἡ δὲ Ἰάλη κοιμωμένου σιδήρεον ἧλον ἐλάσασα διὰ τοῦ κροτάφου
αὐτοῦ διέπειρε τὸ ἔδαφος καὶ τοῖς περὶ τὸν Βάρακον ἐδείκνυ τῇ γῇ προσηλωμένον. εἶτα 209
στρατεύσας ἐπ' Ἄσωρον Βάρακος Ἰαβεινόν τε ὑπαντιάσαντα κτείνει καὶ τοῦ στρατηγοῦ
πεσόντος καθελὼν εἰς ἔδαφος τὴν πόλιν στρατηγεῖ ἐπ' ἔτη τεσσαράκοντα. τελευτήσαντος 210
δὲ Βαράκου καὶ Δεβώρας κατὰ τὸν αὐτὸν καιρὸν Μαδιηνῖται προσλαβόντες Ἀμαληκίτας
καὶ Ἄραβας μάχῃ νικῶσι τοὺς συμβαλόντας αὐτοῖς τῶν Ἰσραηλιτῶν καὶ τοὺς καρποὺς
δῃώσαντες τὴν λείαν ὑπῆγον. τοῦτο δὲ ποιούντων ἐπὶ ἔτη ἑπτὰ εἰς τὰ ὄρη τῶν Ἰσραηλιτῶν 211
ἀνεστάλη τὸ πλῆθος; λιμός δ' ἦν καὶ σπάνις τροφῆς καὶ τρέπονται πρὸς ἱκεσίαν τοῦ 212
θεοῦ. καὶ Γεδεὼν ὁ Ἰάσου παῖς Μανασσίτιδος φυλῆς δράγματα σταχύων κρυπτῶς εἰς 213
τὴν ληνὸν ἔκοπτε. φαντάσματος δ' αὐτῷ παραστάντος νεανίσκου μορφῇ καὶ φήσαντος
εὐδαίμονα καὶ φίλον τῷ θεῷ, ὑποτυχὼν „τοῦτο γοῦν, ἔφη, τεκμήριον τῆς εὐδαιμονίας τῇ
ληνῷ ἀντὶ ἅλωνος χρῆσθαι“. θαρρεῖν δὲ παρακελευσαμένου καὶ πειρᾶσθαι τὴν ἐλευθερίαν 214
ἀνασώζειν ἀδυνατεῖν ἔλεγε· τήν τε γὰρ φυλὴν μικρὰν εἶναι καὶ νέον αὐτόν. ὁ δὲ θεὸς
ἀναπληρώσειν τὸ λεῖπον ἐπηγγέλετο καὶ νίκην παρέξειν Ἰσραηλίταις αὐτοῦ στρατηγοῦντος.
τοῦτ' οὖν διηγούμενος ὁ Γεδεὼν τισὶ τῶν νέων ἐπιστεύετο, καὶ ἕτοιμοι πρὸς τοὺς ἀγῶνας 215
μύριοι ἄνδρες. δηλοῖ δὲ καθ' ὕπνους αὐτῷ ὁ θεὸς μὴ πάντας ἐξάγειν πρὸς πόλεμον, ἵνα

3 Μωαβίτου] Henn. μωαβίτιδος Busb. Μωαβίτας fortasse. — 17 ἐπηγγέλλετο man. 2 Busb. — 25 Ἄσωρον] Henn. ἄδωρον Busb. — 36 ἐπηγγέλλετο Henn. et ex correctura Busb.

Zonaras I p. 87 Bonn.

216 μὴ διὰ τὸ πλῆθος ἰδίαν τὴν νίκην νομίσωσιν. συνεβούλευε δ' ἐν ἀκμῇ τοῦ καύματος ἄγειν
τὴν στρατιὰν ἐπὶ τὸν ποταμὸν καὶ τοὺς μὲν κατακλιθέντας καὶ οὕτω πιόντας καταλιπεῖν,
ὅσοι δ' ἂν ἐσπευσμένως καὶ μετὰ θορύβου πίνοντες τύχοιεν τούτους ἐπαγόμενον ἐπιχειρεῖν
217 218 τοῖς πολεμίοις. μόνοι δὲ τριακόσιοι ἄνδρες οὕτω πιόντες εὑρέθησαν. Γεδεῶνος δὲ δειλι-
ῶντος κελεύει ὁ θεὸς ἕνα τῶν στρατιωτῶν προσλαβόμενον ταῖς τῶν Μαδιανιτῶν πλησιάσαι
219 σκηναῖς· καὶ πεισθεὶς ᾔει καὶ πλησιάσας σκηνῇ τινι καταλαμβάνει τὸν ἕτερον ὄναρ τῷ
συσκηνοῦντι διηγούμενον. τὸ δὲ τοιοῦτον ἦν· μάζαν ἐδόκει κριθίνην ὑπ' εὐτελείας ἀνθρώ-
ποις ἄβρωτον διὰ τοῦ στρατοπέδου κυλιομένην τὴν τοῦ βασιλέως σκηνὴν καταβαλεῖν καὶ
220 τὰς τῶν στρατιωτῶν. ὁ δὲ σημαίνειν ὄλεθρον τοῦ στρατοῦ τὴν ὄψιν ἔκρινε, τὸ σπέρμα
λέγων τὸ κρίθινον εὐτελέστατον τυγχάνειν, τοῦ δ' Ἀσιανοῦ παντὸς τὸ Ἰσραηλιτῶν ἀτιμό-
221 τερον γενέσθαι ὅμοιον τῷ κατὰ κριθὴν γένει. καὶ τὸ παρὰ Ἰσραηλίταις νῦν μεγαλοφρονοῦν
τοῦτ' ἂν εἴη Γεδεὼν καὶ τὸ σὺν αὐτῷ στρατιωτικόν. δέδια οὖν, μὴ ὁ θεὸς Γεδεῶνι τὴν
222 καθ' ἡμῶν νίκην ἐπινένευκε". Γεδεῶνα δ' ἀκούσαντα τὸ ὄναρ ἐλπὶς ἀγαθὴ καὶ θάρσος
ἔλαβε καὶ προσέταξεν ἐν τοῖς ὅπλοις εἶναι τοὺς οἰκείους διηγησάμενος καὶ τὴν τῶν πολε-
223 μίων ὄψιν. κατὰ δὲ τετάρτην φυλακὴν τῆς νυκτὸς προσῆγε τὴν ἑαυτοῦ στρατιὰν Γεδεὼν
εἰς τρεῖς ἑκατοστύας διελὼν αὐτήν. ἐκόμιζον δὲ πάντες ἀμφορέας κενοὺς καὶ λαμπάδας
225 ἡμμένας καὶ ἐν τῇ δεξιᾷ κριοῦ κέρας, οἷς ἀντὶ σάλπιγγος ἐχρῶντο. οἱ δ' Ἑβραῖοι, πλησίον
τῶν πολεμίων γενόμενοι σάλπιγξί τε ἤχησαν καὶ τοὺς ἀμφορέας κατέαξαν ὥρμησάν τε μετὰ
226 τῶν λαμπάδων ἀλλαλάξαντες. ταραχὴ δὲ λαμβάνει τοὺς ἀνθρώπους ὑπνοῦντας καὶ δείματα·
νὺξ γὰρ ἦν καὶ ὁ θεὸς τοῦτο ἤθελεν. ἐκτείνοντο δὲ ὀλίγοι μὲν ὑπὸ τῶν πολεμίων, οἱ δὲ πλείους
227 ὑπὸ τῶν συμμάχων διὰ τὸ τῇ γλώσσῃ διαφωνεῖν. ἀπέθανον δὲ σχεδὸν ἅπαντες καὶ δύο τῶν
228 βασιλέων Ὤρηβός τε καὶ Ζῆβος. οἱ δὲ λοιποὶ τῶν ἡγεμόνων τοὺς παραλειφθέντας τῶν
στρατιωτῶν, ἦσαν δὲ ὡς μύριοι καὶ ὀκτακισχίλιοι, ἄγοντες διώκονται παρὰ Γεδεὼν καὶ
παντὸς τοῦ στρατοῦ καὶ ἅπαντα διαφθείρονται. οἱ δ' ἡγεμόνες Ζεβέης καὶ Ζαρβούνης
229 230 αἰχμάλωτοι ἤχθησαν εἰς Ἐφρὰν τὴν τοῦ Γεδεὼν πατρίδα κἀκεῖ κτείνονται. ἡ δ' Ἐφραίμιος
φυλὴ στρατεύειν ἐπὶ Γεδεὼν διεγνώκει, τὸ μὴ προσαγγεῖλαι τὴν ἐπιχείρησιν αὐτοῖς τὴν
κατὰ τῶν πολεμίων ἐγκαλοῦντες. Γεδεὼν δὲ μέτριος ὢν τοῦ θεοῦ κελεύσαντος ἔλεγεν οὕτω
231 ποιῆσαι, τὴν δὲ νίκην οὐχ ἧττον καὶ αὐτῶν ἔφασκεν εἶναι καὶ τούτοις αὐτῶν τὴν ὀργὴν
232 παρηγόρησε. τὴν δ' ἀρχὴν ἔσχε βιασθεὶς ἐπ' ἔτη μ' βραβεύων αὐτοῖς τὰ δίκαια. καὶ
233 ὁ μὲν γηραιὸς ἐτελεύτησε. παῖδες δὲ ἦσαν αὐτῷ γνήσιοι μὲν ἐκ διαφόρων γυναικῶν ἑβδο-
μήκοντα, νόθος δὲ εἷς ἐκ παλλακῆς Ἀβιμέλεχος τοὔνομα, ὃς μετὰ τὴν τοῦ πατρὸς
234 τελευτὴν ἀναχωρήσας ἐπὶ Σικίμοις πρὸς τοὺς τῆς μητρὸς συγγενεῖς ἀφικνεῖται σὺν αὐτοῖς
εἰς τὸν πατρῷον οἶκον καὶ κτείνει πάντας τοὺς ἀδελφοὺς πλὴν Ἰωνάθα φυγόντος, καὶ εἰς
τυραννίδα τὰ πράγματα μεθίστησι δεινῶς πρὸς τοὺς δικαίου ἀντεχομένους ἐμπικραινόμενος.
235 καί ποτε δημοτελοῦς Σικίμοις ἑορτῆς οὔσης ὁ Ἰωνάθας, ὃν διαφυγεῖν ἔφαμεν, ἀνελθὼν
236 ἐπὶ τὸ ὄρος τὸ Γαριζεὶν εἰς ἐπήκοον τοῦ πλήθους εἶπεν, ὡς τὰ δένδρα φωνὴν ἀνθρωπίνην
προϊέμενα δεηθείη συκῆς ἄρχειν αὐτῶν. ἀρνησαμένης δ' ἐκείνης ὡς τιμωμένης ἐκ τοῦ
237 καρποῦ, ἐδόκει τοῖς δένδροις ἀμπέλῳ τὴν τιμὴν παρασχεῖν. ἡ δὲ παρῃτεῖτο καὶ αὐτὴ τὴν

2 στρατειαν man. 1 Busb. — 5 μαδιηνιτῶν ex correctura Henn. — 31 ἀβιμέληχος Henn. — 32 σικίμην Henn. — 34 ἀντεχομένους] προϊσταμένους Iosephus. — 36 ἐπήκοιον man. 1 Busb.



Zonaras I p. 88 Bonn.

ἀρχὴν ὁμοίως. τὸ δ' αὐτὸ καὶ τῶν ἐλαιῶν ποιησαμένων ῥάμνος, πυρὶ δὲ ἀγαθὴ τῶν ξύλων 238
ἐστίν, ὑπισχνεῖται τὴν ἀρχὴν διαδέξασθαι· δεῖ μέντοι συνιζάνειν αὐτὰ ὑπὸ τὴν σκιάν, εἰ
δ' ὄλεθρον ἐπ' αὐτῇ φρονῶεν, ὑπὸ τοῦ ἐνόντος πυρὸς διαφθαρεῖεν. ταῦτα δὲ οὐ γέλωτος 239
ἕνεκα λέγω, ὅτι δὲ πολλῶν ἀγαθῶν ἐκ Γεδεῶνος πεπειραμένοι περιορῶσιν Ἀβιμέλεχον ἐπὶ
τῶν ὅλων ὄντα πραγμάτων σὺν αὐτῷ τοὺς ἀδελφοὺς ἀποκτείναντες, ὃν πυρὸς οὐδὲν
διοίσειν. καὶ ὁ μὲν ταῦτα εἰπὼν ὑπεχώρησε καὶ διῃτᾶτο ἐν ὄρεσι δεδιὼς Ἀβιμέλεχον.
μετ' οὐ πολὺ δὲ τῆς ἑορτῆς οἱ Σικιμῖται ἐξελαύνουσι τὸν Ἀβιμέλεχον τῆς πόλεως καὶ τῆς 240
φυλῆς· τῆς τρύγης δ' ἐπιστάσης ἐδεδίεσαν προϊέναι, μή τι δράσῃ κακὸν αὐτοὺς Ἀβιμέλεχος.
δέονται οὖν Γέλλου τῶν ἀρχόντων τινὸς φυλακὴν παρασχεῖν αὐτοῖς, ἕως ἂν τρυγήσωσι, καὶ 241
Γέλλης τοῦτ' ἐποίει τὸ οἰκεῖον ἄγων ὁπλιτικόν. Ζέβελος δέ τις τῶν Σικιμιτῶν ἄρχων ξένος ὢν 243
Ἀβιμελέχου ὅσα παροξύνειε Γέλλης τὸν δῆμον πέμπων ἐμήνυεν αὐτῷ καὶ παρῄνει λοχᾶν
πρὸ τῆς πόλεως· πείσειν γὰρ Γέλλην ἐξελθεῖν. ὅ τε οὖν Ἀβιμέλεχος ἐλόχα καὶ ὁ Γέλλης 244
ἀφυλακτότερον διέτριβεν ἐπὶ τοῦ προαστείου καὶ Ζεβέλης σὺν αὐτῷ. ἰδὼν δὲ ὁπλίτας ὁ Γέλλης
λόχον ἔλεγεν ἐπιέναι ἀνδρῶν. καὶ Ζέβελος, „οὐ σύ, φησίν, κακίαν ἐνεκάλεις Ἀβιμελέχῳ; τί 245
οὖν οὐκ ἐπιδείκνυσαι τὴν σὴν ἀρετήν"; Γέλλης δὲ τεθορυβημένος συνάπτει τοῖς Ἀβιμελέχου 246
καὶ πίπτουσι μὲν τινὲς τῶν σὺν αὐτῷ, φεύγει δὲ εἰς τὴν πόλιν μετὰ τῶν ἄλλων. καὶ
Ζέβελος πολιτεύεται Γέλλην ἐκβληθῆναι τῆς πόλεως. Ἀβιμέλεχος δὲ ἐνεδρεύει περὶ τὴν 247
πόλιν καὶ προελθόντων Σικιμιτῶν ἡ μὲν τρίτη μοῖρα τῆς στρατιᾶς καταλαμβάνει τὰς πύλας,
οἱ δὲ ἄλλοι σκιδναμένους ἐφόνευον. καὶ κατασκάψας τὴν πόλιν ἅλας κατὰ τῶν ἐρειπίων 248
ἔσπειρεν. ὅσοι δὲ διέφυγον τὸν κίνδυνον συλλεγέντες ἐπί τινα πέτραν ὀχυρὰν ἐπ' αὐτῆς
ἱδρύονται. ἐλθὼν δ' Ἀβιμέλεχος ἐπ' αὐτὴν μετὰ τῆς δυνάμεως φακέλλους ὕλης ξηρᾶς 249
περιβαλὼν τῷ χωρίῳ κύκλῳ πῦρ ἐμβάλλει. καὶ πάντες ἅμα γυναιξὶ καὶ τέκνοις ἀπώλοντο. 250
Ἀβιμέλεχος δὲ ἤλαυνεν ἐπὶ Θήβας καὶ τὴν μὲν πόλιν ἐξ ἐπιδρομῆς αἱρεῖ, πύργου δ' ὄντος 251
ἐν αὐτῇ μεγάλου, εἰς τοῦτον τὸ πλῆθος συνέφυγε. πλησίον δὲ γενομένου τῶν πυλῶν 252
Ἀβιμέλεχον γυνὴ θραύσματι μύλης βάλλει ἄνωθεν κατὰ κεφαλῆς, πεσὼν δὲ παρεκάλει τὸν
ὑπασπιστὴν κτείνειν αὐτόν, μὴ τῆς γυναικὸς ὁ θάνατος ἔργον δόξειε. καὶ ὁ μὲν ἔθανε, τὸ 253
δὲ σὺν αὐτῷ στράτευμα διεσκέδαστο. τὴν δὲ Ἰσραηλιτῶν ἡγεμονίαν Ἰαείρης ἐκ τῆς 254
Μανασσίτιδος φυλῆς παραλαμβάνει παῖδας ἀγαθοὺς ἔχων τριάκοντα. οὗτος δύο καὶ εἴκοσιν
ἔτη ἄρξας τελευτᾷ. τὰ δὲ τῶν Ἑβραίων εἰς ὕβριν τοῦ θεοῦ καὶ τῶν νόμων ἐφέρετο, ὅθεν Ἀμμα- 255
νῖται καὶ Παλαιστηνοὶ τὴν χώραν διήρπαζον καὶ τὴν Περαίαν κατέσχον. Ἑβραῖοι δὲ εἰς 256
ἱκεσίαν ἐτράποντο τοῦ θεοῦ παρακαλοῦντες παύσασθαι τῆς ὀργῆς, καὶ ὁ θεὸς μετεβάλετο.
Ἀμμανιτῶν δ' ἐστρατευκότων ἐπὶ τὴν Γαλαδηνὴν οἱ ἐπιχώριοι τὸν Ἰέφθην ἠξίουν αὐτοῖς 257 258
συμμαχεῖν. ὁ δ' ὀμοσάντων ἀεὶ παρέξειν αὐτῷ τὴν ἡγεμονίαν πείθεται, καὶ καθίσας 260 261
τὸν στρατὸν ἐν πόλει Μασφαθῇ πρεσβείαν πέμπει παρὰ τὸν Ἀμμανίτην αἰτιώμενος τῆς
ἁλώσεως. τοῦ δὲ τὴν ἀπ' Αἰγύπτου τῶν Ἰσραηλιτῶν ἔξοδον ἀνταιτιωμένου, ὁ Ἰέφθης, 262
μάχεσθαι πρὸς αὐτοὺς ἡτοίμαστο, καὶ νίκην εὐξάμενος καὶ πᾶν ὅ τι πρῶτον αὐτῷ συντύχῃ 263
ὑποστρέφοντι ἱερουργήσειν ὑποσχόμενος συμβαλὼν νικᾷ καὶ διαβὰς εἰς τὴν Ἀμμανῖτιν
πόλεις τε ἠφάνισε πολλὰς καὶ λείας ἤλασε καὶ τοὺς οἰκείους δουλείας ἀπήλλαξεν ἐν ἔτεσιν

2 διαδέξασθαι] ἀναλήψεσθαι Iosephus. — 5 ἀποκτείναντες (α superscr.) Busb. — 7 ἀβιμέλιχον Henn. — 8 et 12 ἀβιμέλιχος Henn. — 14 κακίαν ἐνεκάλεις φησὶν Henn. — 21 δ'] Henn. δὲ Busb. — 24 γενομένου Busb.

Zonaras I p. 89 Bonn.

264 ὀκτωκαίδεκα ταύτην ὑπομείναντας. ἀναστρέφοντι δ' ὑπήντησεν αὐτῷ ἡ θυγάτηρ, μονο-
265 γενὴς δ' ἦν, ἔτι παρθένος. ὃ δ' ἀνοιμώξας ἔφη καθιερώσειν αὐτὴν τῷ θεῷ ὑποσχέσθαι.
τῇ δὲ τὸ συμβησόμενον οὐκ ἀηδῶς προσέπεσεν ἐπὶ νίκῃ τοῦ πατρὸς καὶ τῶν πολιτῶν
ἐλευθερίᾳ τεθνηξομένῃ, παρεκάλεσε δὲ δύο μῆνας αὐτῇ παρασχόντα πρὸς τὸ μετὰ τῶν
266 πολιτῶν ἀποθρηνῆσαι τὴν νεότητα τότε ποιεῖν τὰ κατὰ τὴν εὐχήν. μετὰ γοῦν τὸν χρόνον
267 τοῦτον θύσας τὴν παῖδα ὡλοκαύτωσε. τῆς δ' Ἐφραίμου φυλῆς ἐπ' αὐτὸν στρατευσάσης,
269 ὅτι μὴ κοινώσαιτο τὴν ἐπ' Ἀμμανιτῶν ἐλασίαν αὐτοῖς, ὡς οὐκ ἔπειθε παραιτούμενος,
270 συνέβαλεν αὐτοῖς καὶ κτείνει περὶ δισχιλίους καὶ τετρακισμυρίους, αὐτὸς δὲ ἄρξας ἓξ ἔτη
271 τελευτᾷ, τὴν δὲ ἀρχὴν Ἀψάνης παραλαμβάνει φυλῆς ὢν Ἰούδα. πράξας δ' οὐδὲν μνήμης
272 ἄξιον ἐν ἑπταετεῖ τῆς ἀρχῆς χρόνῳ ἀπέθανε καὶ μετ' αὐτὸν παραλαβὼν τὴν ἡγεμονίαν
273 Ἤλων φυλῆς ὢν Ζαβούλου ἄρξας ἐπ' ἔτη δέκα παρῆλθε. Λαβὼν δὲ φυλῆς τῆς Ἐφραιμή-
274 τιδος αὐτοκράτωρ ἡγεμὼν ἀποδειχθεὶς μετὰ Ἤλωνα θνήσκει γηραιὸς υἱοὺς καταλιπὼν μ'
καὶ τούτων γενεὰς λ', ὡς εἶναι πάντας ἑβδομήκοντα.
275 Μετὰ δὲ τοῦτον Παλαιστηνοὶ κρατοῦσι τῶν Ἰσραηλιτῶν καὶ ὑποφόρους ἔσχον αὐτοὺς
276 ἐπ' ἔτη τεσσαράκοντα. ἐλευθεροῦνται δὲ οὕτως· Μανώχης Δανιτῶν πρῶτος παίδων οὐ
γινομένων αὐτῷ τὸν θεὸν ἱκέτευε μετὰ τῆς γυναικὸς δοῦναι διαδοχὴν γνησίαν αὐτοῖς·
277 μονωθείσῃ δὲ τῇ γυναικὶ φάντασμα ἐπιφαίνεται ἄγγελος τοῦ θεοῦ νεανίᾳ καλῷ παρα-
πλήσιος εὐαγγελιζόμενος αὐτῇ παιδὸς γονὴν καλοῦ τὲ καὶ ῥώμην ἐπιφανοῦς, ὑφ' ᾧ πονήσειν
278 Παλαιστηνοὺς ἀνδρουμένῳ. παρῄνει τὲ τὰς κόμας αὐτῷ μὴ ἀποκείρειν· „ἔσται δ', ἔλεγεν,
279 αὐτῷ ποτὸν ὕδωρ". καὶ ὁ μὲν ταῦτα εἰπὼν ᾤχετο. ἡ δὲ τἀνδρὶ αὐτὰ διηγήσατο ἐκθαυ-
μάζουσα τό τε κάλλος καὶ τὸ μέγεθος, ὡς ἐκεῖνον ἐκ τῶν ἐπαίνων διὰ ζηλοτυπίαν εἰς ὑπόνοιαν
280 ἐκπεσεῖν. ἡ δὲ βουλομένη τὴν τοῦ ἀνδρὸς λύπην σταλῆναι τὸν θεὸν ἱκέτευε πάλιν πέμψαι
τὸν ἄγγελον, ὡς ἂν καὶ τῷ ἀνδρὶ ὁραθείη. καὶ πάλιν παραγίνεται καὶ τῇ γυναικὶ φαίνεται.
281 ἡ δ' ἐπιμεῖναι δεηθεῖσα μέτεισι τὸν ἄνδρα. ὁ δὲ θεασάμενος ἠξίου δηλοῦν ὅσα καὶ τῇ
γυναικὶ μηνύσειεν. ἀρκέσειν δὲ ταύτην φράσαντος μόνην εἰδέναι, τίς εἴη λέγειν ἐκέλευεν, ἵνα τοῦ
282 παιδὸς γενομένου δωρεὰν αὐτῷ δῶσι. τοῦ δὲ μὴ δεῖσθαι εἰπόντος, μεῖναι παρεκάλει καὶ
283 ξενίων μετασχεῖν. πεισθεὶς δ' ἔμεινε καὶ θύσαντος ἔριφον Μανώχου ὁ νεανίας θεῖναι τὰ κρέα
284 καὶ τοὺς ἄρτους ἐπὶ τῆς πέτρας ἐπέταξε. καὶ τεθέντων ἅπτεται αὐτῶν τῇ ῥάβδῳ ἣ εἶχε, τὰ
δὲ λάμψαντος πυρὸς ἐκαίετο, καὶ ὁ ἄγγελος διὰ τοῦ καπνοῦ ὥσπερ ὀχήματος ἀνῄει πρὸς
285 οὐρανόν. κύει γοῦν ἡ γυνὴ καὶ φυλακὴν εἶχε τῶν ἐντολῶν, καὶ γενόμενον τὸ παιδίον
286 Σαμψῶνα καλοῦσιν, ἰσχυρὸν δὲ σημαίνει τὸ ὄνομα· ηὔξετο δὲ ὁ παῖς ῥᾳδίως. ἀφικόμενος
δὲ μετὰ τῶν γονέων εἰς Θαμνὰ πόλιν τῶν Παλαιστηνῶν ἐρᾷ παρθένου. τῶν δὲ γονέων
ἀρνουμένων τὸν γάμον διὰ τὸ μὴ ὁμόφυλον εἶναι, ἐκνικᾷ μνηστεύσασθαι τὴν παρθένον
287 τοῦ θεοῦ κατὰ τὸ Ἑβραίων συμφέρον ἐπινοοῦντος τὸν γάμον. συνεχῶς δὲ ἀπερχόμενος
πρὸς τοὺς γονεῖς αὐτῆς ἐντυγχάνει λέοντι καὶ γυμνὸς ὢν ἐκδεξάμενος αὐτὸν ἄγχει ταῖς
288 χερσὶ καὶ ἐνδοτέρω τῆς ὁδοῦ πρὸς τὸ ὑλῶδες ῥίπτει τὸ θηρίον. πάλιν τὲ ἀπιὼν ἐπιτυγ-
χάνει σμήνει μελιττῶν ἐν τῷ στήθει τοῦ λέοντος ἐκείνου νενοσσευκότι, καὶ ἀνελόμενος τρία
290 μέλιτος κηρία δίδωσι τῇ παιδί. εἶτα προβάλλει τοῖς νεανίσκοις λόγον συνθήκας θέμενος

25 μόνον Henn. — 25 λέγον man. 1 Busb. — 27 μανάχου Busb. — 28 προσέταξεν Zonaras cum Iosepho. — 37 νενοσευκότι Henn. Busb.



Zonaras I p. 91 Bonn.

ἐφ' ἡμέρας ἑπτὰ ποιεῖσθαι αὐτοῦ τὴν ζήτησιν, καὶ εἰ λύσαιεν τὸ πρόβλημα ὀθόνην 290
ἑκάστῳ δοῦναι καὶ στολήν, καὶ φησίν, ὅτι τὸ πάμβορον γεγενήκει ἡδεῖαν βορὰν ἐξ αὐτοῦ
καὶ πάνυ ἀηδοῦς ὄντος. τῶν δ' ἐπὶ τρεῖς ἡμέρας μὴ δυναμένων ἐξευρεῖν τὸ νοούμενον, 291
παρακαλούντων δὲ τὴν κόρην μαθοῦσαν παρὰ τοῦ ἀνδρὸς αὐτῆς μηνῦσαι, ὁ Σαμψὼν
δεομένης τῆς κόρης εἰπεῖν αὐτῇ τὸ μὲν πρῶτον ἀντεῖχεν, ἐγκειμένης δ' αὐτῆς καὶ δακρυ- 292
ούσης μηνύει τὰ περὶ τὴν ἀναίρεσιν τοῦ λέοντος. καὶ ὁ μὲν σημαίνει τὸ πᾶν, ἣ δ' 293
ἐκφέρει τὸν λόγον τοῖς δεηθεῖσι. κατὰ δὲ τὴν ἑβδόμην ἡμέραν πρὶν ἢ δῦναι τὸν ἥλιον
συνελθόντες φασίν, „οὔτε λέοντος ἀηδέστερόν τι τοῖς ἐντυγχάνουσιν οὔτε ἥδιον μέλιτος τοῖς
χρωμένοις". καὶ ὁ Σαμψὼν εἶπεν οὔτε γυναικὸς εἶναι τι δολερώτερον, κἀκείνοις μὲν δί- 294
δωσιν ἃ ὑπέσχετο, τὸν δὲ γάμον ἐκεῖνον παραιτεῖται, καὶ ἡ παῖς ἐκφαυλίσασα τῆς ὀργῆς
αὐτὸν συνῆν φίλῳ αὐτοῦ νυμφοστόλῳ γεγονότι. πρὸς δὲ τὴν ὕβριν Σαμψὼν παροξυνθεὶς 295
θέρους ὄντος συλλαβὼν τριακοσίας ἀλώπεκας καὶ τῶν οὐρῶν ἐξάψας λαμπάδας ἡμμένας
ἐπαφίησιν ἐν ταῖς ἀρούραις τῶν Παλαιστηνῶν, καὶ φθείρεται αὐτοῖς ὁ καρπός. Παλαιστηνοὶ 296
δὲ γνόντες Σαμψὼν εἶναι τὸ ἔργον καὶ τὴν αἰτίαν, πέμψαντες εἰς Θαμνὰ τὴν γενομένην
αὐτοῦ γυναῖκα καὶ τοὺς συγγενεῖς ζῶντας κατέπρησαν. Σαμψὼν δὲ πολλοὺς ἐν τῷ πεδίῳ 297
τῶν Παλαιστηνῶν ἀποκτείνας πέτραν ὀχυρὰν κατῴκει, Παλαιστηνοὶ δ' ἐστράτευον ἐπὶ τὴν
φυλήν, λέγοντες εἰ βούλονται μὴ ἔχειν αἰτίαν ὑποχείριον αὐτοῖς Σαμψὼν δοῦναι. οἱ δὲ 298
τρισχιλίοις ὁπλίταις παρῆσαν ἐπὶ τὴν πέτραν ἥκειν λέγοντες, ὅπως αὐτὸν λαβόντες ὑπο-
χείριον δῶσι Παλαιστηνοῖς. ὁ δὲ καταβὰς αὐτὸν ἐν τῇ τῶν φυλετῶν τίθησιν ἐξουσίᾳ, 299
κἀκεῖνοι δήσαντες αὐτὸν ἦγον παραδοῦναι τοῖς Παλαιστηνοῖς. καὶ γενομένων 300
κατά τι χωρίον, ὃ Σιαγὼν καλεῖται νῦν διὰ τὴν Σαμψῶνος ἀνδραγαθίαν, διαρρήξας
τὰ δεσμὰ καὶ ἁρπασάμενος ὄνου σιαγόνα παρὰ ποσὶν οὖσαν εἰς τοὺς πολεμίους ὤσατο
καὶ κτείνει τῇ σιαγόνι χιλίους, τοὺς δὲ ἄλλους τρέπεται. δίψους δ' αὐτὸν ἰσχυροῦ κατα- 302
σχόντος τὸν θεὸν ἱκέτευε παρασχεῖν βοήθειαν πρὸς τὸ δεινόν, καὶ ὁ θεὸς πηγὴν κατά τινος 303
πέτρας ἀνίησιν ἡδεῖαν καὶ πολλήν. καταφρονῶν δὲ τῶν Παλαιστηνῶν εἰς Γάζαν ἀφικνεῖται 304
καὶ μαθόντες οἱ Γαζαῖοι τὴν αὐτόθι παρουσίαν αὐτοῦ πρὸ τῶν πυλῶν ἐνεδρεύουσιν, ὡς
ἐξιὼν μὴ λάθῃ. Σαμψὼν δὲ ταῦτα μαθὼν περὶ μεσοῦσαν νύκτα ἀναστὰς τὰς πύλας 305
αὐταῖς φλιαῖς καὶ μοχλοῖς ὅση τὲ περὶ αὐτὰς ξύλωσις ἦν ἀράμενος κατωμαδὸν εἰς τὸ ὑπὲρ
Ἑβρῶνος ὄρος φέρων κατατίθησι. παρέβαινε δὲ τὰ πάτρια, καὶ τοῦτ' ἀρχὴ αὐτῷ κακοῦ 306
γίνεται· γυναικὸς γὰρ ἑταιριζομένης παρὰ τοῖς Παλαιστηνοῖς ἐρασθεὶς συνῆν αὐτῇ. καὶ 307
Παλαιστηνοὶ πείθουσιν ἐπαγγελίαις τὴν Δαλίλην μαθεῖν παρὰ τοῦ Σαμψῶνος τὴν αἰτίαν
τῆς ἰσχύος· ἡ δὲ παρὰ πότον καὶ τὴν αὐτῆς συνουσίαν ἐτεχνίτευε μαθεῖν, ὅπως τοσούτων
κρατεῖ. ὁ δὲ Σαμψὼν ἀντηπάτα τὴν Δαλίδην φάμενος, εἰ κλήμασιν ἑπτὰ δεθείη, ἔσοιτο 308
ἀσθενής. ἡ δὲ σημάνασα τοῦτο τοῖς Παλαιστηνοῖς ἐνήδρευσε τῶν στρατιωτῶν ἔνδον τινὰς 309
καὶ μεθύοντα κατέδει τοῖς κλήμασιν, εἶτα ἀνεγείρασα ἐδήλου παρεῖναι τινὰς ἐπ' αὐτόν·
ὁ δὲ ῥήξας τὰ κλήματα βοηθεῖν ἐπειρᾶτο. καὶ ἡ γυνὴ συνεχῶς ὁμιλοῦντος αὐτῇ Σαμψῶνος 310
ἐζήτει πάλιν μαθεῖν, ὅθεν αὐτῷ ἡ ἰσχύς. τοῦ δὲ φήσαντος πάλιν ἑπτὰ καλωδίοις δεθέντα 311
τὴν ἰσχὺν ἀπολέσειν, καὶ τοῦτο ποιήσασα οὐδὲν ἤνυσε. τρίτον ἐνυφῆναι τὰς κόμας αὐτοῦ
ἐμήνυσεν. ὡς δὲ καὶ τοῦτο ἀπάτῃ πεφώρατο, δεομένης τελευταῖον ὁ Σαμψών, ἔδει γὰρ 312
αὐτὸν συμφορᾷ περιπεσεῖν, χαρίζεσθαι βουλόμενος τῇ Δαλίδῃ, „ἐγώ, φησίν, κατὰ θεοῦ

1 αὐτοῦ] αὐτούς? — 3 μὴ] οὐ Iosephus. — 19 αὐτὸν] ἑαυτὸν Zonaras. — 32 τεθείη Busb.

Zonaras I p. 93 Bonn.

προνοιαν γεννηθεὶς κόμην ταύτην τρέφω παρεγγυήσαντος μὴ ἀποκείρειν τοῦ θεοῦ· ἐν
313 ταύτῃ γὰρ τὴν ἰσχὺν εἶναί μοι". ἡ δὲ κείρασα τὴν κόμην αὐτοῦ παραδίδωσιν αὐτὸν τοῖς
πολεμίοις οὐκέτ' ὄντα ἰσχυρόν. οἱ δ' ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμοὺς δεδεμένον ἄγειν
314 παρέδοσαν. προϊόντος δὲ τοῦ χρόνου ηὔξετο ἡ κόμη τῷ Σαμψῶνι, καὶ ἑορτῆς οὔσης
Παλαιστηνοῖς καὶ τῶν ἀρχόντων καὶ γνωριμωτάτων ἐν ταὐτῷ εὐωχουμένων, οἶκος δ' ἦν
δύο κιόνων στεγόντων αὐτοῦ τὸν ὄροφον, ἄγεται Σαμψὼν εἰς τὸ συμπόσιον, ὡς ἐνυβρί-
315 σωσιν αὐτῷ παρὰ τὸν πότον. ὁ δὲ τὸν χειραγωγοῦντα παῖδα ἀναπαύσασθαι χρῄζειν
316 εἰπὼν πείθει πρὸς τοῖς κίοσιν αὐτὸν ἀγαγεῖν. ἐνσεισθεὶς οὖν αὐτοῖς ἐπικαταβάλλει τὸν
οἶκον τῶν κιόνων ἀνατραπέντων τρισχιλίοις ἀνδράσι, καὶ πάντες ἀπέθανον, ἐν αὐτοῖς δὲ
καὶ Σαμψών. καὶ τὸν μὲν τοιοῦτον κατέσχε τέλος.

318 Μετὰ δὲ τὴν Σαμψῶνος τελευτὴν προέστη τῶν Ἰσραηλιτῶν Ἠλεὶς ὁ ἀρχιερεύς. ἐπὶ
τούτου λιμοῦ γενομένου Ἀβιμέλεχος ἐκ Βηθλεέμων ἀντέχειν μὴ σθένων πρὸς τὸ δεινὸν
319 σὺν γυναικὶ καὶ δυσὶν υἱοῖς εἰς τὴν Μωαβίτην μετοικίζεται. ἄγεται οὖν τοῖς υἱοῖς γυναῖκας
Μωαβίτιδας Χελίωνι μὲν Ὀρφᾶν Ῥούθην δὲ Μαλεῶνι. διελθόντων δὲ δέκα ἐτῶν ὅ τε
320 Ἀβιμέλεχος καὶ οἱ παῖδες τελευτῶσιν, ἡ δὲ Νααμὶς ἡ γυνὴ Ἀβιμελέχου, εἰς τὴν πατρίδα
321 πάλιν ὑπέστρεφεν. οὐκ ἐκαρτέρουν δ' αἱ νύμφαι διαζευχθῆναι αὐτῆς. ἡ δ' ὑπερευξαμένη
322 αὐτῶν μένειν παρεκάλει. καὶ ἡ μὲν Ὀρφὰ μένει, τὴν δὲ Ῥοὺθ μὴ πεισθεῖσαν ἀπήγαγεν.
323 ἐλθοῦσαν δὲ εἰς τὴν Βηθλεέμων Βόοζος Ἀβιμελέχου συγγενὴς ξενίζει. ἡ δὲ Νααμὶς προσ-
αγορευόντων αὐτὴν ὀνομαστὶ τῶν πολιτῶν δικαιότερον εἶπεν εἰ Μάραν καλῶητέ με· σημαίνει
324 δὲ νααμὶς εὐτυχίαν, μάρα δὲ ὀδύνην. ἀμητοῦ δὲ ὄντος ἐξῄει καλαμησομένη κατὰ συγχώ-
ρησιν τῆς πενθερᾶς ἡ Ῥούθη εἰς τὸ Βοόζου χωρίον. ὁ δὲ θεασάμενος τὴν κόρην ἀνέκρινε
325 τὸν ἀγροκόμον περὶ αὐτῆς, καὶ ὃς ἐδήλου τῷ δεσπότῃ. ὁ δὲ ἀσπασάμενος αὐτὴν θερίζειν
πᾶν ὅ τι καὶ δύναιτο καὶ λαμβάνειν ἐπιτρέπει προστάξας τῷ ἀγροκόμῳ ἄριστον παρέχειν
326 αὐτῇ καὶ ποτόν. Ῥούθη τὲ ἄλφιτα λαβοῦσα παρ' αὐτοῦ ἐφύλαξε τῇ ἑκυρᾷ καὶ παρῆν ὀψὲ
327 κομίζουσα μετὰ τῶν ἀσταχύων· διηγεῖται δ' αὐτῇ τὰ περὶ τοῦ Βοόζου καὶ πάλιν ἐξῄει
328 σὺν ταῖς Βοόζου θεραπαινίσιν. ἐλθὼν δὲ καὶ Βόοζος ἐπὶ τῆς ἅλωνος ἐκάθευδε. τεχνᾶται
δὲ Νααμὶς παρακατακλῖναι τὴν Ῥούθην αὐτῷ· καὶ γὰρ ἔσεσθαι χρηστὸν αὐταῖς ὁμιλήσαντα
329 τῇ παιδί· καὶ πέμπει τὴν κόρην ὑπνωσομένην παρὰ τοῖς ποσίν· ἡ δὲ πείθεται. περιεγερ-
330 θεὶς δὲ περὶ μέσην νύκτα καὶ αἰσθόμενος κειμένην ἀνέκρινε τίς εἴη. τῆς δ' εἰπούσης
τὸ ὄνομα τότε μὲν ἡσυχίαν ἄγει, ὄρθριος δὲ περιεγείρας αὐτὴν κελεύει τῶν κριθῶν λαβοῦσαν
331 ὅ τι καὶ δύναιτο πορεύεσθαι. περὶ μέντοι τοῦ παντὸς οὕτω, φησίν, ἔσται, ἐρωτᾶν τὸν
ἔγγιστα ἐμοῦ τῷ γένει τυγχάνοντα, καὶ θέλοντι μὲν ἀκολουθήσεις αὐτῷ, παραιτουμένου δὲ
332 νόμῳ σε συνοικήσασαν ἕξομαι". ταῦτα τῇ ἑκυρᾷ δηλωσάσης εὐθυμία κατεῖχεν αὐτάς·
Βόοζος δὲ κατελθὼν εἰς τὴν πόλιν τὴν γερουσίαν συνῆγε καὶ μεταπεμψάμενος Ῥούθην
333 ἐκάλει καὶ τὸν συγγενῆ, καὶ παραγενομένῳ φησίν· „Ἀβιμελέχου καὶ τῶν υἱῶν αὐτοῦ κλῆρον
κρατεῖς"; ὁμολογήσαντος δέ, συγχωρούντων τῶν νόμων κατὰ ἀγχιστείαν, „οὐκοῦν ἐξ ἡμισείας
δεῖ μεμνῆσθαί τῶν νόμων, ἔφη, ἀλλὰ πάντα ποιεῖν κατ' αὐτούς. Μαλῶνος γὰρ ἥκειν
334 δεῦρο γύναιον, ὅπερ γαμεῖν σε δεῖ κατὰ τοὺς νόμους". ὁ δὲ Βοόζῳ καὶ τοῦ κλήρου καὶ

8 αὐτὸν] αὐτῶν Busb. — 25 περὶ] παρὰ Zonaras cum Iosepho. — 32 παραιτουμένου — 34 κατελθὼν εἰς τὴν in rasura angustius scripta Busb. — 36 οὐκοῦν] οὐκοῦν οὐκ Zonaras.



Zonaras I p. 95 Bonn.

τῆς γυναικὸς παραχωρεῖ ὄντι καὶ αὐτῷ συγγενεῖ. μαρτυρόμενος οὖν ὁ Βόοζος τὴν γερουσίαν 335
ἐκέλευε τῇ γυναικὶ ὑπολῦσαι αὐτὸν καὶ πτύειν εἰς τὸ πρόσωπον κατὰ τὸν νόμον. οὗ γενο-
μένου ὁ Βόοζος γαμεῖ τὴν Ῥοὺθ καὶ γίνεται αὐτοῖς παιδίον ἄρρεν. τοῦτο Νααμὶς Ὠβήδην 336
ἐκάλεσεν· ὠβήδης γὰρ κατὰ διάλεκτον Ἑβραίων σημαίνει δουλεύων. Ὠβήδου δὲ γίνεται
Ἰεσσαῖος, τούτου Δαυίδης ὁ βασιλεύσας καὶ παισὶ τοῖς αὐτοῦ καταλιπὼν τὴν ἡγεμονίαν
ἐπὶ μίαν καὶ εἴκοσι γενεάς.

Ἑβραῖοι δὲ πάλιν πόλεμον ἐκφέρουσι Παλαιστηνοῖς ἐκ τοιαύτης αἰτίας· Ἠλεὶ τῷ 338
ἀρχιερεῖ β' παῖδες ἦσαν Ὀφνὶς τὲ καὶ Φινεές. οὗτοι παρανομήματος ἀπείχοντο οὐδενός. 339
ὅ τε οὖν πατὴρ αὐτῶν χαλεπῶς ἐπὶ τούτοις εἶχε, τό τε πλῆθος ἐδυσφόρει, κἀπειδὴ φράζει 340
τὴν ἐσομένην συμφορὰν τοῖς παισὶν τῷ Ἠλεὶ ὁ θεὸς καὶ Σαμουήλῳ τῷ προφήτῃ τότε ὄντι,
φανερὸν ἐπὶ τῆς γῆς πένθος ἦγε. περὶ Σαμουήλου δὲ πρότερον διηγητέον. Ἐλκάνης Λευίτης 341 342
ἀνὴρ τῆς Ἐφραίμου κληρουχίας Ἀρμαθὰν πόλιν κατοικῶν εἶχε δύο γυναῖκας Ἄνναν τὲ καὶ
Φενάνναν. ἐκ μὲν ταύτης καὶ παῖδες ἦσαν, τὴν δ' Ἄνναν ἄτεκνον οὖσαν ἀγαπῶν διετέλει.
ἀφικομένου δὲ μετὰ τῶν γυναικῶν εἰς Σιλὼμ θῦσαι καὶ νέμοντος μοίρας κρεῶν ταῖς γυναιξὶ καὶ 343
τοῖς τέκνοις, ἡ Ἄννα θεασαμένη τοὺς τῆς ἑτέρας παῖδας τῇ μητρὶ περικαθισαμένους τῆς
ἀπαιδίας ἑαυτὴν ὠλοφύρετο καὶ εἰς τὴν σκηνὴν ᾤχετο τὸν θεὸν ἱκετεύουσα δοῦναι γονὴν 344
αὐτῇ καὶ ποιῆσαι μητέρα, ἐπαγγελομένη τὸ πρῶτον γενησόμενον καθιερώσειν ἐπὶ διακονίᾳ
τοῦ θεοῦ δίαιταν οὐχ ὁμοίαν τοῖς ἰδιώταις ποιησόμενον. διατριβούσης δ' ἐπὶ ταῖς εὐχαῖς 345
πολὺν χρόνον Ἠλεὶς ὁ ἱερεὺς καθεζόμενος πρὸ τῆς σκηνῆς ὡς πάροινον ἐκέλευεν
ἀπιέναι. τῆς δὲ πιεῖν ὕδωρ φαμένης, λυπουμένης δ' ἐπὶ παίδων ἀπορίᾳ τὸν θεὸν
ἱκετεύειν, θαρσεῖν παρεκελεύετο· παρέξειν γὰρ αὐτῇ τὸν θεὸν παῖδας. ἀναστρέψασα 346
δὲ σὺν τῷ ἀνδρὶ κύει καὶ γεννᾶται παιδίον αὐτοῖς, ὃ Σαμούηλον προσαγορεύουσι·
θεαίτητον ἄν τις εἴποι. παρῆσαν οὖν ὑπὲρ τῆς τοῦ παιδὸς θύσοντες γενέσεως.
ἀναμνησθεῖσα δὲ ἡ γυνὴ τῆς ἐπὶ τῷ παιδὶ γενομένης εὐχῆς παρεδίδου τῷ Ἠλεὶ ἀνατι- 347
θεῖσα τῷ θεῷ προφήτην γενησόμενον· κόμη τὲ οὖν αὐτῷ ἀνεῖτο καὶ ποτὸν ἦν ὕδωρ ἐν
τῷ ἱερῷ τρεφομένῳ. ἔτος δὲ πεπληρωκὼς ἤδη δωδέκατον προεφήτευσε. καί ποτε κοιμώ- 348
μενον ὀνομαστὶ ἐκάλεσεν ὁ θεός· ὁ δὲ νομίσας ὑπὸ τοῦ ἀρχιερέως καλεῖσθαι προσῆλθε
λέγων, ἰδοὺ ἐγώ. καὶ τοῦτο τρὶς πεποίηκε τοσαυτάκις κληθείς. Ἠλεὶς δὲ διαυγασθεὶς φησὶ 349
πρὸς αὐτόν, „ἀλλ' ἐγὼ οὐ κέκληκά σε, θεός δ' ἐστιν ὁ καλῶν, καὶ σήμαινε πρὸς αὐτόν, ὅτι
παρατυγχάνω." καὶ ὁ θεός „ἐπεί, φησί, παρατυγχάνεις, μάνθανε συμφορὰν Ἰσραηλίταις 350
ἐσομένην, καὶ τοὺς Ἠλεὶ δὲ παῖδας ἡμέρᾳ μιᾷ τεθνηξομένους καὶ τὴν ἱερωσύνην μετελευσομέ-
νην εἰς τὴν Ἐλεαζάρου οἰκίαν." ταῦτα βιασθεὶς ὅρκοις ὁ Σαμούηλος εἴρηκε πρὸς Ἠλεί, Σαμουή- 351
λου δ' ηὔξετο ἐπὶ πλέον ἡ δόξα. Παλαιστηνοὶ δὲ στρατεύσαντες ἐπὶ τοὺς Ἰσραηλίτας μάχης 352
συγκροτηθείσης νικῶσι. δείσαντες δὲ οἱ Ἑβραῖοι πέμπουσι πρὸς τὸν ἀρχιερέα τὴν κιβω- 353
τὸν αἰτοῦντες κομίζειν, ἵνα παρούσης αὐτῆς παρατασσόμενοι κρατῶσι τῶν ἐναντίων.
παρῆν οὖν ἡ κιβωτὸς καὶ οἱ τοῦ ἀρχιερέως υἱεῖς, καὶ συμβολῆς γενομένης ἐτράπησαν οἱ 354 356
Ἑβραῖοι καὶ ἀπέβαλον εἰς τρισμυρίους, ἐν οἷς ἔπεσον καὶ οἱ τοῦ ἀρχιερέως υἱοί, ἥ τε
κιβωτὸς ἤγετο πρὸς τῶν πολεμίων. ἀπαγγελθείσης δὲ τῆς ἥττης καὶ τῆς αἰχμαλωσίας τῆς 357

1 μαρτυρούμενος man. 1 Busb. — 10 σαμουήλου m. 1 Busb. — 11 τῆς γῆς] τοῖς υἱοῖς Iosephus. — 17 ἐπαγγελλομένη man 2 Busb. — 32 ὁ σαμούηλος ὅρκοις Henn. — 35 αἰτοῦντες] κελεύοντες Iosephus. — 38 ἐναντίων] πολεμίων Iosephus.

Zonaras I p. 98 Bonn.

358 κιβωτοῦ, Ἠλεὶς ὁ ἀρχιερεύς, ἐκαθέζετο γὰρ καθ᾽ ἑτέρας τῶν πυλῶν ἐφ᾽ ὑψηλοῦ θρόνου,
359 ὡς ἔγνω τὰ κατὰ τὴν μάχην καὶ τοὺς αὐτοῦ παῖδας καὶ τὴν αἰχμαλωσίαν τῆς κιβωτοῦ,
περιαλγήσας ἀποκυλισθεὶς τοῦ θρόνου τελευτᾷ, ὀκτὼ καὶ ἐνενήκοντα βιώσας ἔτη καὶ
361 τούτων τεσσαράκοντα κατασχὼν τὴν ἀρχήν. ἦρξε δὲ πρῶτος Ἠλεὶς Ἰθαμάρου τοῦ ἑτέρου
τῶν Ἀαρῶνος υἱῶν οἰκίας· ἡ γὰρ Ἐλεαζάρου οἰκία τὸ πρῶτον ἱερᾶτο παῖς παρὰ πατρὸς
362 δεχόμενοι τὴν τιμήν. μεθ᾽ οὓς Ἠλεὶς ἔσχε τὴν ἱερωσύνην καὶ τὸ γένος τὸ ἀπ᾽ ἐκείνου μέχρι
τῶν κατὰ τὴν Σολομῶντος βασιλείαν καιρῶν. τότε δὲ οἱ Ἐλεαζάρου πάλιν αὐτὴν ἔλαβον.

περιέχει ὁ λόγος χρόνον ἐτῶν υος΄.

## Φλαυίου Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιολογίας λόγος ἕκτος.

Λαβόντες οἱ Παλαιστηνοὶ τὴν κιβωτὸν εἰς Ἄζωτον ἐκόμισαν πόλιν καὶ παρὰ τὸν αὐτῶν
2 θεὸν ὥσπέρ τι λάφυρον Δαγὼν καλούμενον τιθέασι. τῇ δ᾽ ἐπιούσῃ εἰσιόντες προσκυνῆσαι
τὸν θεὸν αὐτῶν εὑρίσκουσιν αὐτὸν τοῦτο ποιοῦντα πρὸς τὴν κιβωτόν. ἔκειτο γὰρ ἀπο-
πεπτωκὼς τῆς βάσεως, ἐφ᾽ ἧς ἑστὼς διετέλει· καὶ πάλιν ἐφιστᾶσιν ἐπ᾽ αὐτῆς. πολλάκις
δὲ φοιτῶντες ἐπὶ τὸν Δαγὼν καὶ καταλαμβάνοντες ὁμοίως ἐπὶ τοῦ μετώπου κείμενον διη-
3 πόρουν. τελευταῖον δ᾽ ἐνέσκηψεν εἰς τὴν τῶν Ἀζωτίων πόλιν καὶ τὴν χώραν φθορά·
ἔθνησκον γὰρ ὑπὸ δυσεντερίας τὰ ἐντὸς ἐξεμοῦντες διαβεβρωμένα, τὰ δ᾽ ἐπὶ τῆς χώρας
4 μυῶν πλῆθος ἀνελθὸν ἀπὸ τῆς γῆς κατέβλαψε. συνῆκαν δ᾽ ἐκ τῆς κιβωτοῦ ταύτης αὐτοῖς
ἀνασχεῖν Ἀζώτιοι. πέμπουσιν οὖν πρὸς τοὺς Ἀσκαλωνίτας ἀξιοῦντες αὐτοὺς τὴν κιβωτὸν
5 δέχεσθαι. οἳ δ᾽ ἐπινεύουσιν αὐτοῖς τὴν χάριν, λαβόντες δὲ τὴν κιβωτὸν ἐν τοῖς ὁμοίοις
6 κακοῖς ἦσαν· καὶ πρὸς ἄλλους ἀποπέμπουσιν Ἀσκαλωνῖται. καὶ αὐτοὶ δ᾽ ὑπὸ τῶν αὐτῶν
παθῶν ἐλαυνόμενοι πρὸς τὰς ἐχομένας ἀπολύουσι πόλεις. καὶ οὕτως περιέρχεται τῶν
7 8 Παλαιστηνῶν πέντε πόλεις ἡ κιβωτός. ἀπειρηκότες δὲ τοῖς κακοῖς συνῆλθον οἱ ἐκ τῶν
πέντε πόλεων ἄρχοντες, Γήττης καὶ Ἀκκαρὼν καὶ Ἀσκάλωνος καὶ Γάζης καὶ Ἀζώτου καὶ
ἐσκόπουν τί δεῖ ποιεῖν. καὶ ἄλλων μὲν ἀποπέμπειν δεῖν λεγόντων τὴν κιβωτὸν τοῖς
9 10 οἰκείοις, ἑτέρων δὲ μὴ τοῦτο ποιεῖν, τινὲς μήτ᾽ ἀποπέμπειν αὐτὴν συνεβούλευον μήτε
κατέχειν, ἀλλὰ πέντε ἀνδριάντας χρυσέους ὑπὲρ ἑκάστης πόλεως ἀναθεῖναι τῷ θεῷ, τοσού-
11 τους δὲ μύας χρυσοῦς τοῖς τὴν χώραν διαφθείρασιν ἐμφερεῖς, καὶ βαλόντας εἰς γλωσσόκομον
αὐτοὺς θέντας ἐπὶ τὴν κιβωτὸν ἅμαξαν αὐτῇ κατασκευάσαι καινὴν καὶ βόας ἀρτιτόκους
ὑποζεῦξαι καὶ κατασχεῖν τὰς δαμάλεις, ἐκείνας δ᾽ ἐξελάσαντας τὴν κιβωτὸν φερούσας ἐπὶ
12 τριόδου καταλιπεῖν, αὐταῖς ἐπιτρέψαντας ἣν βούλονται τῶν ὁδῶν ἀπελθεῖν· κἂν μὲν τὴν
Ἑβραίων ἀπίωσι, τὴν κιβωτὸν ὑπολαμβάνειν αἰτίαν τῶν κακῶν καὶ παραχωρεῖν ἀπιέναι,
13 ἂν δὲ ἄλλην τράπωνται, μεταδιῶξαι μηδεμίαν γνόντες ἰσχὺν τοιαύτην ἔχειν. ποιή-
σαντες οὖν τὰ εἰρημένα προάγουσι τὴν ἅμαξαν ἐπὶ τὴν τρίοδον καὶ ἀνεχώρησαν, τῶν δὲ
βοῶν τὴν ὀρθὴν ὁδὸν ἀπιουσῶν ἠκολούθουν οἱ Παλαιστηνοί, ποῦ ποτε στήσονται βουλόμενοι
14 μαθεῖν. εἰς πεδίον δὲ μέγα κώμης Βηθύμης ὄνομα ἀφικόμεναι αἱ βόες παύονται τῆς
15 πορείας. οἱ δ᾽ ἐν τῇ κώμῃ ὡς εἶδον τὴν κιβωτὸν ἔδραμον ἐπὶ τὴν ἅμαξαν. καὶ καθελόντες

10 καὶ om. Busb. — 12 εὑρίσκουσιν] ἐπιτυγχάνουσιν Iosephus. — 17 δ᾽ om. Busb. — 17 ταύτας Iosephus. — 20 ἀσκαλωνίτας Busb. — 31 καὶ παραχωρεῖν ἀπιέναι om. Iosephus. — 32 γνόντες] μαθόντες Iosephus.



Hactenus antiqua historia. Voto autem finiendum volumen sit. Superest enim ut dies festissimus publice indicatur. **Imperatoris ac Regis Augustissimi** festum natalem tricesimum eundemque primum, ex quo sceptra gerere coepit, mox celebrabit haec Academia Deumque optimum maximum, auctorem ac statorem Germanici nominis, sed qui annum proximum lugubrem esse voluit duorum Imperatorum tristissimis funeribus, publica voce precabitur, ut custodiat servet protegat hunc imperii statum, hanc pacem, huius amatissimi denique Principis iuventutem eumque semper validum sapientem felicem longissima statione uti sinat mortalibus destinata civiumque omnium consilia pia foveat, opprimat impia. Quorum votorum sollemnium interpres in oeco publico exsistet vir illustrissimus

IULIUS WELLHAUSEN

THEOL. ET PHIL. DOCTOR, PHILOLOGIAE SEMITICAE HISTORIAEQUE ORIENTIS P. P. O.

doctam ex more disputationem votis adnexurus. Eadem sollemnia professores ornatissimi, iuvenes artium doctarum studiosi carissimi, viri denique in quocumque honoris gradu collocati, quotquot huic favent Academiae, ut frequentes ac laeti concelebrent oratoremque benigne excipiant, Rectore magnifico invitante ea qua par est observantia oramus.